Ἐπειδὴ τὰ ὅλα διοικεῖται ἐξ ☉ καὶ ☾, καὶ οὐδὲν τῶν ἐν τῷ κόσμῳ ὄντων, δίχα τῆς τῶν φώτων τούτων δεσποτείας ἐστὶν: ἀναγκαῖόν ἐστι, δεῖξαι τὴν ἡλιακὴν καὶ σεληνιακὴν αἵρεσιν, ἥ τε κεκλήρωται. Καὶ ὅτι διὰ τούτων πάντα συνέστηκεν, ὁ μὲν ☉, ἐκληρώσατο τὴν ἡμέραν, καὶ τὴν ἑώαν ἀνατολὴν, καὶ τὰ ἀῤῥενικὰ ζώδια. δορυφόρους δὲ ἔχει, τὸν τοῦ ♄, καὶ τὸν τοῦ ♃ ἀστέρα. ἡ δὲ ☾ λέλογχε τήν τε νύκτα, καὶ ἑσπερίαν ἀνατολὴν, καὶ θηλυκὰ ζώδια. δορυφόρους δὲ ἔχει, τὸν τοῦ ♂, καὶ τὸν τῆς ♀ ἀστέρα. τοῦ ☿ κοινοῦ τὴν φύσιν ὑπάρχοντος, καὶ μετὰ μὲν ☉, ἐπὶ τῆς ἑώας ἀνατολῆς χαίροντος: μετὰ δὲ ☾ ἐπὶ τῆς ἑσπερίας. καὶ γὰρ ὁ ἀστὴρ οὗτος κοινὴν τὴν φύσιν κληρωσάμενος, μετὰ μὲν ἀγαθοποιῶν ἀστέρων, ἀγαθὸς φαίνεται: μετὰ δὲ φθοροποιῶν, φαῦλος. ἀγαθοποιοὶ δὲ ἀστέρες εἰσὶ, ♃ καὶ ♀. κακοποιοὶ δὲ, ♄ καὶ ♂, διὰ τὸ καθ' ὑπερβολὴν, τὸν μὲν τοῦ ♄ ἀστέρα ψυχροτέραν τὴν φύσιν ἔχειν: τὸν δὲ τοῦ ♂, σφόδρα πυρωδεστάτην: τοῦ ☿ τὴν φύσιν κοινοῦ ὑπάρχοντος. χαίρουσι δὲ ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων, ☉ καὶ ♄ καὶ ♃, ἐν ἀρσενικοῖς ζωδίοις, ἐπὶ ἀγαθῶν τόπων κεχρηματικότες. μάλιστα δὲ, ♄ καὶ ♃ ἑώων ἀνατολικῶν ὑπαρχόντων. ἐπὶ δὲ τῶν νυκτερινῶν, ☾ ♂ ♀. ἑσπερίας ἀνατολῆς ὄντες, καὶ τὰ θηλυκὰ ζώδια ἐπέχοντες: τῆς ☾ ἐπὶ δορυφορίας, τεταγμένων τῶν δύο τούτων ἀστέρων.

ΠΕΡῚ ΤΩ͂Ν ΤΕΤΑΡ-τημορίων.

Τεταρτημόριον ἀρσενικόν ἐστι, τὸ ἀπὸ τῆς ὡροσκοπούσης ἕως τῆς μεσουρανούσης, ἔστι δὲ τὸ αὐτὸ τεταρτημόριον καὶ ἀνατολικὸν. κα-

λεῖται

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

DE DVORVM LVMI-
NVM CONDITIONE.

QVoniam à Sole & Luna diſpenſantur vniuerſa, & eorum, quæ in mundo ſunt, nihil ſine horum luminum gubernatione exiſtit: neceſſarium eſt, oſtendere Solis & Lunæ conditionem, & quid ſorte quaſi illis obtigerit. Et quia in his conſiſtunt omnia, Sol quidem ſortitus eſt diem, & ortum matutinum, & ſigna maſculina: Satellites habet, Saturnum & Iouem. Luna verò accepit noctem, & veſpertinum ortum, & fœminina ſigna: Satellites habet Martem & venerem. Mercurius natura communis eſt, & gaudet, poſt ſolem quidem, in ortu matutino: poſt Lunam verò, in veſpertino. Cùm enim huius ſtellæ natura ſit, vt omnibus ſe accommodet: cum beneficis bonam ſe exhibet, cum maleficis malam. Beneficæ ſtellæ ſunt, Iupiter & Venus: Maleficæ, Saturnus & Mars: propterea, quòd Saturni ſtella, vi vehementer frigida: Martis verò, maximè ignea eſt prædita: Mercurio communem naturam obtinente. Gaudent autem in diurnis geniturís: Sol, Saturnus & Iupiter, quando maſculina ſigna tenentes, bona loca occupauerint: maximè cum Saturnus & Iupiter in matutino ortu reperiuntur. In nocturnis verò: Luna, Mars, Venus, veſpertini orientes, & ſigna tenentes fœminina: duabus hiſce ſtellis Lunam ſtipantibus.

De quadrantibus.

Quadrans maſculinus eſt, à parte aſcendente vſq; ad eam, quæ medium cœli occupat. Eſt quadrans idem orientalis: vocatur

λεῖται δὲ καὶ ἀπηλιωτικόν. τοῦτο δὲ σημαίνει τὴν πρώτην ἡλικίαν: λέγω δὲ τὴν νεότητα. τὸ δὲ δεύτερον, θηλυκόν, ἀπὸ τῆς μεσουρανού-σης μοι., ἕως τοῦ δυνούσης χρηματίζον. ἔστι δὲ νότιον, καὶ μεσημβρινόν: σημαῖνον τὴν μετὰ τὴν νεότητα ἡλικίαν, ἥτις ἐστὶ μέση. τὸ δὲ τρίτον τεταρτημόριον ἀπὸ τῆς δυνούσης μοι, ἕως τῆς ὑπογείου, ἀρσενικὸν τυγχάνει, νοούμενον λιβυκόν, καλούμενον ζεφύριον: σημαῖνον τὴν τοῦ γήρως ἡλικίαν. τὸ δὲ τέταρτον τεταρτημόριον ἀπὸ τοῦ ὑπογείου, μέχρι τοῦ ὡροσκοπούσης μοι., θηλυκὸν καὶ βόρειον ἐστὶ: σημαῖνον τὴν πρεσβυτικὴν ἡλικίαν, ἕως τοῦ τοῦ θανάτου τελευτῆς. πρὸς δὲ τὸ γνῶναι τὸ λεγόμενον, διὰ τοῦ τῶν δ. κέντρων ἀκολουθίας, ἔχει οὕτως. ἀπὸ τοῦ ὡροσκοπούσης μοι., ἕως τοῦ ὑπογείου, ἔστι τὸ πρὸς βορρᾶν τεταρτημόριον. ἀπὸ δὲ τοῦ ὑπογείου μοι., ἕως τοῦ δυνούσης, ἔστι τὸ πρὸς λίβα. ἀπὸ δὲ τῆς δυνούσης μοι., ἕως τοῦ μεσουρανούσης, ἔστι τὸ πρὸς μεσημβρίαν τεταρτημόριον, ἤτοι τὸ πρὸς νότον. ἀπὸ δὲ τοῦ μεσουρανούσης, ἕως τοῦ ὡροσκοπούσης, ἔστι τὸ πρὸς ἀπηλιώτην τεταρτημόριον, ὁ σημαίνει τὰ πρὸς ἀνατολήν.

Περὶ τῶν ἀκουόντων καὶ βλεπόντων ζωδίων.

Συμβάλλεται δὲ τὰ ἀκούοντα καὶ βλέποντα ζώδια ἄλληλα, πρὸς συμπάθειαν καὶ φιλίαν καὶ εὔνοιαν, ὅπου τε ἀνδρὸς πρὸς γυναῖκα, καὶ γυναικὸς πρὸς ἄνδρα, πατέρος τε πρὸς τέκνα, καὶ τέκνων πρὸς πατέρας, ἀδελφῶν τε πρὸς ἀδελφοὺς, καὶ φίλων πρὸς γνησιώτητα καὶ ἑταιρουσιώην, καὶ δούλων πρὸς δεσπότας. ἁρμόζει δὲ, καὶ πρὸς πᾶσαν κοινωνίαν, καὶ τὰ τούτοις παραπλήσια. καὶ τὰ μὲν βλέποντα ἄλληλα ζώδια, ἔχει οὕτως. * Οἱ ♊ βλέπουσι τὸν ♌, καὶ ὁ λέων τοὺς ♊ ὁρᾷ. ὁ ♉ βλέπει τὴν ♍. ὁ κριὸς βλέπει τὸν ζυγὸν, τῇ τῆς αἰτίας ἐπαγωγῇ. ὁ ♏ βλέπει τοὺς ♓. βλεπόμενος ὑπ' αὐτῶν. ὁ ♒ βλέπει τὸν τοξότην, καὶ ὁ τοξότης τὸν ♒.

Ἀκούοντ


Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

catur etiam ſubſolanus. Significat primam ætatem, nempe iuuentutem. Alter eſt fœmininus, à parte medij cæli, vſq; ad occidentem ſe extendens. Eſt auſtralis & meridionalis: ſignificans eam, quæ iuuentutem ſequitur ætatem, quæ eſt media. Tertius quadrans ab occidente vſq; ad imum cœli, eſt maſculinus. Iudicatur eſſe Libycus: vocatur Zephyrius, ſignificans ætatem ſenilem. Quartus quadrans ab imo cæli vſq; ad partem aſcendentem, eſt fœmininus & ſeptentrionalis, ſignificans decrepitam ætatem, vſq; ad mortis limen. Vt verò rectius intelligatur, quod de ordine quatuor cardinum dictum eſt, ita res habet: A parte aſcendente vſq; ad imam cæli, eſt quadrans verſus ſeptentrionem. Ab ima cæli vſq; ad occidentem, eſt quadrans verſus Africum. Ab occidente vſq; ad medium cæli, eſt quadrans verſus meridiem vel Auſtrum. A medio cæli vſq; ad partem aſcendentem, eſt quadrans verſus ſubſolanum, qui ſignificat ea, quæ ad ortum ſunt.

De audientibus & intuentibus ſignis.

Signa mutuò ſe audientia & intuentia, ad conſenſum & amicitiam ac beneuolentiam conducunt, viri erga vxorem, vxoriſq; erga virum: patrum erga liberos, ac liberorum erga patres: fratrum erga fratres: & vt amici ſinceri, ſocietatiſq; ſtudioſi ſint: & ſerui fideles dominis: deniq; ad omnem communitatem, & ad alia, quæ his ſimilia ſunt, congruunt. Intuentium autem ſe mutuò ſignorum hæc eſt diſtributio. * *Gemini intuentur Leonem, & Leo geminos. Taurus intuentur virginem. Aries libram, eadem viciſſitudinis ratione. Scorpius aſpicit piſces, qui ipſum viciſſim intuentur. Aquarius reſpicit ad Sagittarium, & Sagittarius ad Aquarium.*


Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]



⁎ ΣΧΟΛΙΟΝ.

Οἱ ♊ βλέπουσι τὸν ♌. ὥστε, τὸ διὰ ♊ καὶ ♋ εἰς ♌ ἑξάγωνον, ἐστὶν ἀγαθόν. ὡσαύτως καὶ τὸ διὰ ♐ καὶ ♑ εἰς ♒. τὰ δ' ἄλλα ἑξάγωνα, οἷον ♉ ♊ ♋, ἢ ♓ ♈ καὶ ♉, ἢ ♌ ♍ καὶ ♎, οὐκ εἰσὶ τοιαῦτα: ἀλλὰ τῇ διαμέτρῳ μάλιστα, καὶ τῇ τετραγώνῳ προσεοίκασι. περὶ ὧν καὶ ἐν τῷ μετὰ τοῦτο κεφαλαίῳ φησὶ, τῷ περὶ τῶν κατὰ σχῆμα. ἀσύμφωνον γὰρ τὸ διάμετρον. διότι, εἰ καὶ ἀπὸ ἄῤῥενος εἰς ἄῤῥεν ἐστὶν, ἢ ἀπὸ θήλεος εἰς θῆλυ: ἀλλὰ τοῦ ἑνὸς ἀνατέλλοντος, τὸ ἕτερον δύνει: καὶ διὰ τοῦτο μέσον πως ἐστὶ, τοῦτε συμφώνου καὶ ἀσυμφώνου. τὸ δὲ τετράγωνον, ἀπὸ ἄῤῥενος εἰς θῆλυ, καὶ ἀπὸ θήλεος εἰς ἄῤῥεν: καὶ διὰ τοῦτο, πάντη καθέστηκεν ἀσύμφωνον. ὡσαύτως καὶ ἐπὶ τῶν ἀκουόντων καὶ προστασσόντων, σύμφωνα καὶ ἀγαθὰ ἑξάγωνα, τὸ διὰ ♍ ♎ καὶ ♏. προστάσσει γὰρ τὸ τοῦ ♍, ὑπακούει δὲ τὸ τοῦ ♏. καὶ τὸ διὰ ♓ ♈ ♉. τὰ δ' ἄλλα πάλιν ἑξάγωνα, καὶ τούτοις ἀσύμφωνα.

Audientia & intuentia ſigna.



* SCHOLION.

Gemini intuentur Leonem. Itaq; Sextilis aſpectus, qui per Geminos, Cancrum & Leonem porrigitur, eſt fauſtus: ſimiliter & qui per Sagittarium, capricornum & Aquarium. Cæteri verò ſextiles, vt Taurus, Gemini, Cancer: & Piſces, Aries, taurus: & Leo, virgo, libra, non ſunt eiuſmodi: ſed oppoſito aut quadrato radio aſſimiles, de quibus & in ſequenti capite, vbi de configuratione vel aſpectibus agitur. Nam quod diametro diſtat, diſcors eſt, & non conſentiens. Etſi enim à maſculino ad maſculinum protenditur, aut à fœminino ad fœmininum: tamen vno oriente, alterum occidit, atq; ideo medium quodammodo eſt inter concors & diſcors. Quadratum verò à maſculino eſt ad fœmininum, & à fœminino ad maſculinum: quapropter prorſus diſſentiens illud eſſe exiſtimemus. Similiter & in obedientibus & imperantibus, conſentientes & fauſti ſunt aſpectus ſextiles: vt qui eſt per virginem, Libram & Scorpium. Nam imperat ſignum virginis, obedit ſignum Scorpij. Et Sextilis per piſces, Arietem, Taurum. Alij verò Sextiles ab his diſcordant.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΣΧΗ͂ΜΑ ΤΡΙΓΏΝΩΝ, ΚΑΙ ΤΕτραγώνων, καὶ ἑξαγώνων καὶ διαμέτρων.

Τῆς τοῦ ζωδιακοῦ κύκλου συστάσεως, ὑπαρχούσης μοι. τξ, συνέστηκεν ἡ τρίγωνος πλευρὰ, ἐκ ζωδίων δ, μοι. δὲ ρκ. τριπλούμεναι γὰρ αἱ ρκ μοι., ἀπαρτίζουσι τὰς τξ μοι. τοῦ ζωδιακοῦ κύκλου. ἡ δὲ τετράγωνος πλευρὰ συνέστη ἐκ ζωδίων μὲν τριῶν, μοι. δὲ ϙ. ἡ δὲ ἑξάγωνος πλευρὰ, συνέστηκεν ἐκ ζωδίων μὲν δυοῖν, μοι. δὲ ξ. καὶ γὰρ ἑξαπλούμεναι αἱ ξ. μοι., ἀπαρτίζουσι τὰς τξ μοι. τοῦ ζωδιακοῦ κύκλου. τῆς ☍ πλευρᾶς, συνεστώσης ἐκ ζωδίων μὲν ς, μοι. δὲ ρπ: αἵτινες διπλούμεναι, ἀπαρτίζουσι τὰς τξ μοι. τοῦ ζωδιακοῦ κύκλου. καὶ ἡ μὲν τρίγωνος πλευρὰ, σύμφωνος καὶ ἀβλαβὴς ἐστὶν. ἡ δὲ τετράγωνος, ἀνώμαλος καὶ ἀσύμφωνος, πρὸς τὴν τῶν ἀποτελεσμάτων ἔκβασιν γίνεται. ἡ δὲ ἑξάγωνος, ἐὰν μὲν ἐν τοῖς ἀκούουσιν ἀλλήλων, ἢ βλέπουσιν ἄλληλα εὑρεθῇ: ἔχει τὴν δύναμιν τῆς τριγώνου ἢ τριζωδίου. ἐπὶ δὲ τῶν ἄλλων ζωδίων, τὴν ἡμίσειαν τῆς ☍ πλευρᾶς, ἐναντίας καὶ ἐπιδίκου καὶ ἀνωμάλου τετευχυίας. τῶν δὲ ὁμόσε ✱ κατὰ τὸ αὐτὸ ζώδιον συσχηματιζομένων ἀστέρων σύμφωνος ἡ συμπαρουσία νοείσθω, καὶ ἐνεργὴς πρὸς ἕκαστον τῶν ἀποτελεσμάτων, ὁμοδυναμοῦσα τῇ τριγώνῳ πλευρᾷ. ὅσα δὲ παρὰ ταύτας τὰς διατάξεις κεχώρισται ζώδια, ταῦτα ἀπόστροφα ἤτοι ἀσύνδετα καλεῖται.

✱ Σκοπεῖν οὖν χρὴ, πότερον κατ' αἵρεσιν ὑπάρχουσιν, ἢ παρ' αἵρεσιν: καὶ πότερον ὑπὸ ἀγαθοποιοῦ ἢ κακοποιοῦ σχηματίζονται, καὶ ὑπὸ συναιρέτου ἢ οὐ συναιρέτου.

Περὶ προσταττόντων καὶ ὑπακουόντων.

Τὰ δὲ προστάσσοντα τάξιν ἔχει τοιαύτην: ὁ ♈ προστάσσει τοῖς

DE CONFIGVRATIONE STELLARVM TRIQVEtra, quadrata, ſexangula, & oppoſita.

*Cum Zodiacus circulus ex partibus conſtructus ſit 360, latus in eo triangulare conſtat ſignis quatuor, partibus verò 120: quoniam triplicatæ 120 partes, complent 360 zodiaci. Quadrati ſigna ſunt tria, partes verò 90. Sexangulare latus ſigna habet 2, partes 60: quoniam ſexies accumulatæ partes 60, conficiunt 360 partes zodiaci. Lateris dimetientis, quod ſignis 6 conſtat, partes ſunt 180: quæ duplicatæ, abſoluunt 360 partes zodiaci. Eſt autem latus triangulare conueniens & innoxium. Quadratum verò inconſtans & inconueniens exiſtit, ad prædictionum euentum. Quando ſexangulare latus inter audientia vel intuentia ſe mutuò reperitur, vim trianguli habet illa trium ſignorum claſſis: In alijs verò ſignis æquatur cum meditate lateris dimetientis, vel cum quadrato, quod aduerſum eſt, anceps & inconſtans. * Cæterùm ſtellarum, quæ ſimul eidem ſigno configurantur, præſentia & coniunctio, accommodata eſſe intelligatur & efficax, ad ſignificandos quoslibet euentus: vim habens eandem cum latere triangulari. Quæ verò præter has diſtributiones, ſigna à ſe mutuò ſeparata ſunt: ea auerſa & inconiuncta nominantur.*


* *Conſiderare igitur oportet, vtrum ſecundum, an præter conditionem ſint: & vtrum à benefico vel malefico aſpiciantur: & ab eiuſdem conditionis, vel diuerſæ.*

De Imperantibus & obedientibus.

Imperantium ſignorum hic eſt ordo: Taurus imperat

♓: ὑπακούουσι δὲ οἱ ἰχθύες αὐτοῦ. οἱ δὲ ♊, τῷ ♒. ὁ ♋ τῷ ♄. ὁ ♌ τῷ ♐. ἡ ♍ τῷ ♏. ἀθετεῖ δὲ τὰ ἀκούοντα ἀλλήλων ζώδια, ἐπὶ φυγῆς δραπετῶν, καὶ ἀποδημιῶν, προστάξεων τε ἅμα, καὶ ἀγγελιῶν: τῆς ☾ πρὸς τὸν τοῦ ☿, ἢ τοὺς ἀγαθοποιοὺς ἀστέρας κατὰ πάροδον φερομένης: εἴτε ἐπὶ γενέσεως, ἢ ἐπὶ οἱασδήποτε γινομένης καταρχῆς, τῶν εἰς τοῦτο τὸ μέρος ἐξεταζομένων.

Προστάσσοντα καὶ ὑπακούοντα.



Περὶ τῶν ἀσυνδέτων πρὸς ἄλληλα ζωδίων.


Ἡ τῶν ἀσυνδέτων πρὸς ἄλληλα ζωδίων σχέσις, ἔχει τὴν διάστασιν, ἀπὸ δύο, καὶ ἕξ, καὶ ὀκτὼ, καὶ δεκαδύο τὸν ἀριθμόν. λέγεται δὲ καὶ ἀπόστροφα πρὸς ἄλληλα, τὰ πρὸς τὴν δε τὴν διάστασιν τὸν ἀριθμὸν εἰληφότα ζώδια. ἐν τούτοις οὖν τοῖς ζωδίοις, οἱ ἀστέρες εὑρισκόμενοι, ἀσύμφωνοι γίνονται. καὶ ὅτε μὲν ἔχθρας καὶ στάσεις ἀποτελοῦσιν: ὅτε δὲ χωρισμοὺς καὶ ἀποξενώσεις: τῆς τοιαύτης στάσεως

ἐπὶ

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Piſcibus, obediunt ipſi piſces: Gemini, Aquario: Cancer, Capricorno: Leo, Sagittario: Virgo, Scorpio. Locum verò accommodatum habent ſigna ſe mutuò audientia, in ſignificanda fuga ſeruorum, & profectionibus, atq; mandatis & nuncijs: Luna ad ſtellam Mercurij aut beneuolos planetas, ſecundum tranſitum ſe applicante, ſiue in genitura, ſiue in quocunq; alio principio eorum, quæ huc pertinenti exaquiruntur.

Imperantia & obedientia.



De inconiunctis inter ſe ſignis.

Inconiuncta ſigna cenſentur, quæ numero binario, ſenario, octonario & duodenario inter ſe diſtant. Dicuntur & inuicem auerſa, quæ ſecundum hos numeros diſtantiam ſunt ſortita. In his igitur ſignis repertæ ſtellæ diſcordant, & nonnunquam inimicitias ac ſeditiones efficiunt, interdum diſiunctiones & peregrinationes: tali ſeditione

ἐπὶ πάντα παραλαμβανομένης, εἴτε ἐπὶ γονέων πρὸς τέκνα, εἴτε ἐπὶ ἀδελφῶν, εἴτε ἐπὶ ἀνδρὸς καὶ γυναικὸς, εἴτε ἐπὶ κοινωνίας, εἴτε ἐπὶ δούλων καὶ δεσποτῶν, καὶ ἐπὶ πάντων τῶν παραπλησίων.

Περὶ τῶν κατὰ ἀπόστροφον καὶ συμπαθούντων ἀλλήλοις.

Τὰ κατὰ ἀπόστροφον δωδεκατημόρια, καὶ συμπαθοῦντα ἄλληλα, δι' ὁμοζωνίαν, καὶ τὸ ἐν τοῖς αὐτοῖς χρόνοις ἀναφέρεσθαι, συμπαθεῖ. ὁμόζωνα δὲ ἐστιν, ὅταν τοῦ αὐτοῦ ἀστέρος τυγχάνη τὰ ζώδια. ἰσωνάφορα δὲ, τὰ ἐν ἴσαις ὥραις ἀπὸ τοῦ ἀφανοῦς εἰς τὸ φανερὸν ἀναφερόμενα. αἱ δὲ τῶν ὁμοζωνούντων ζωδίων, κατὰ τὸν τῶν ἀσυνδέτων λόγον, διαστάσεις ἔχουσιν οὕτως. ♈ πρὸς ♏. ♉ πρὸς ♎, καὶ ♎ πρὸς ♉. αἰγόκερως πρὸς ♒. καὶ ὑδροχόος πρὸς ♑. τῶν δὲ ἰσωναφόρων καὶ ἀποστρόφων ζωδίων αἱ τάξεις εἰσὶν αἵδε. ♈ πρὸς ♓, καὶ ♊ πρὸς ♑, καὶ καρκίνου πρὸς ♐, καὶ ♍ πρὸς ♎. διὰ β μὲν γὰρ, καὶ ς καὶ η, καὶ ιβ ἀπ' ἀλλήλων ὑπάρχει. ἔχει δὲ συμπάθειαν πρὸς ἄλληλα. Καὶ τὰ μὲν γειτνιῶντα ἑαυτοῖς, καθάπερ ὡς ἐπὶ συνοικειώσεως ἐστὶ τεταγμένα. τὰ δὲ ς καὶ η καὶ ιβ ζώδια, καθάπερ ἐπὶ διαμέτρου στάσεως τετυχότα, τὴν δύναμιν ἔχει: πλείονος δυνάμεως οὔσης, ἐπὶ τῶν κατὰ ἀποστροφὴν ὁμοζώνων καὶ ἰσωναφόρων, ἐνεργειῶν, τῶν κατ' ἐπιδεξιότητα ☞ γινομένων, ἐπὶ τῶν ἑπομένων δηλονότι καὶ ἡγουμένων, τούτῳ τῷ τρόπῳ: οἷον ἐπὶ μὲν τῶν κατὰ ἀποστροφὴν ὁμοζώνων ὄντων, πλείονα δύναμιν ἐφέξει, ὁ ♉ πρὸς τὸν ♎, καὶ ὁ ♈ πρὸς τὸν ♏. τῷ δὲ αὐτῷ τρόπῳ, καὶ ἐπὶ τῶν ἰσωναφόρων ζωδίων κριθήσεται, τοῦ πλείονα δύναμιν μετέχειν τὸν ♋ πρὸς τὸν ♐, καὶ τὸν ♑ πρὸς τὸν ♊. τὰ δὲ κατὰ γειτνίασιν ἑαυτῶν ἰσωνάφορα ζώδια, ὁμοίως τὴν ἴσην δύναμιν ἑαυτοῖς ἐφέξουσι, καθάπερ εἴρηται: ὥσπερ συνομοζωνίας, ἢ συσχηματισμοῦ τινὸς τεταγμένα. τὰ δὲ ὑπόλοιπα τῶν ὁμοζώνων ζωδίων, κατὰ τετράγω-

ad omnia accommodata, ſiue parentum ſit aduerſus liberos, ſiue inter fratres, ſiue inter maritum & vxorem, ſiue in ſocietate, ſiue inter ſeruos & dominos, & in eiuſmodi alijs.

De ijs, quæ inuicem auerſa ſunt ſigna, & quæ inter ſe conſentiunt.


Duodecim æ Zodiaci partes, quæ inter ſe auerſæ ſunt, & conuenientiam mutuam habent, ideò conſentiunt, quòd eiuſdem Zonæ ſunt, & temporibus iiſdem aſcendunt. Eiuſdem Zonæ ſunt, quibus eadem ſtella dominatur. Eiuſdem aſcenſionis, quæ æqualibus horis ab imo mundi ſupra terram emergunt. Signorum verò eiuſdem Zonæ, prout inconiuncta ſunt, diſtantiæ ſic ſe habent: Aries ad Scorpium. Taurus ad Libram, & Libra ad Taurum. Capricornus ad Aquarium, & Aquarius ad capricornum. Signorum eiuſdem aſcenſionis auerſorumq́ ordines ſunt hi: Aries ad piſces, Gemini ad capricornum, Cancer ad ſagittarium, & Virgo ad libram. Nam per duo & ſex & octo & duodecim, à ſe diſtant. Eſtq́ conſenſus inter hæc mutuus: & quæ vicina ſibi ſunt, veluti ad eiuſdem domicilij cuſtodiam ſunt ordinata. Quæ verò ſexta aut octaua & duodecima ſunt ſigna: ſimilē ijs, quæ in oppoſita ſtatione collocata ſunt, vim obtinent. Ita quidem, vt maior vis efficiendi ſit in auerſis ſimul, & eiuſdem Zonæ atq́ aſcenſionis ſignis ijs, quæ ad dextram ☞ ſunt, ſicut videlicet ſe mutuò ſequuntur & antecedunt, hoc modo: In ijs quæ auerſa ſunt, & eiuſdem Zonæ: maiorem vim obtinebit Taurus ad Libram, & Aries ad Scorpium. Eodem modo de eiuſdem aſcenſionis ſignis iudicabitur: maiorem vim obtinere Cancrum ad Sagittarium, & Geminos ad Capricornum. Quæ verò vicina inter ſe ſunt & eiuſdem aſcenſionis, ſimiliter æquali vi prædita erunt, quemadmodum dictum eſt: vtpote quæ in eadem zona aut configuratione ſunt conſtituta. Reliqua eiuſdem zonæ ſigna, quæ ſecundum quadratum

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]


νον ἑαυτοῖς ὑπάρχοντα θεωρίαν, διπλασίονα ἐφέξει τὴν δύναμιν, τῶν κατὰ ἀποστροφὴν τεταγμένων ἑαυτοῖς ὁμοζώνων. ἔστι δὲ ὁ ♐ πρὸς ♓, καὶ οἱ ♊ πρὸς τὴν ♍· καθάπερ ἐπιδεξιότητος καὶ καθυπερτερήσεως αὐτῶν τεταγμένων. ἐπὶ δὲ τῶν ἰσαναφόρων καὶ σχηματιζομένων, πλείονα δύναμιν ἐφέξει ὁ ♌ πρὸς τὸν ♏, καὶ ♒ πρὸς τὸν ♉. τὰ γὰρ γειτνιῶντα ἑαυτοῖς κατὰ τὴν ὁμοζωνίαν ζώδια, τὴν ἴσην ἐφέξει δύναμιν, καθάπερ ἐπὶ συσχηματισμοῦ τετευχότα:

☞ Δεξιὰ λέγεται, ἐν τοῖς ἡγουμένοις: ἀριστερὰ δὲ, τὰ ἐν τοῖς ἑπομένοις. ἐν γοῦν τοῖς κατ' ἐπιδεξιότητα, πλείονα δύναμιν ἔχει, τὰ πλείονα διάστασιν ἔχοντα ἐν τοῖς ὁμοζώνοις.

ὁμόζωνα



ἰσανάφορα.




ΠΕΡῚ ὯΝ ΠΟΙΟΥ͂ΝΤΑΙ ΦΑΣΕΩΝ ΟἹ ἀστέρες πρὸς τὸν ἥλιον.

Ποι


tum inter ſe aſpectum diſtant, duplam vim obtinebunt, præ ijs, quæ auerſa inter ſe ſigna ſunt, & eiuſdem zonæ. Talia ſunt: Sagittarius ad piſces, & Gemini ad virginem, vt quæ ad dextram, & in ſublimiore loco collocata ſunt. In eiuſdem verò aſcenſionis, & ſibi configuratis ſignis, maior vis erit Leonis ad Scorpium, & Aquarij ad Taurum. Nam quæ vicina ſibi ſunt ſecundum eandem zonam ſigna, vim eandem obtinebunt, vtpote inter ſeſe configurata.

☞ Dextra dicuntur, quæ ſunt in præcedentibus: ſiniſtra, quæ in ſequentibus. In ijs ergo, quæ ſecundum dextram ſunt, maiorem vim habent, quorum maior eſt diſtantia in eadem zona.

Eiuſdem zonæ.



Eiuſdem aſcenſionis.



DE APPARITIONIBVS, QVAS FAciunt planetæ ad Solem.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Δ Ποιοῦνται δὲ φάσεις πρὸς τὸν ☉ οἱ περιπολοῦντες πέντε ἀστέρες, ὁτὲ μὲν ἑῴας ἀνατολὰς καὶ ἑσπερίας δύσεις: ὁτὲ δὲ ἑσπερίας ἀνατολὰς καὶ ἑῴας δύσεις, τῆς αὐτῶν πορείας ἐπὶ πρῶτον καὶ β στηριγμὸν φερομένης. ἀφ' ὧν καὶ τοῖς ἀριθμοῖς, ὁτὲ μὲν ἀφαιρετικοὶ καὶ ἀκρόνυκτοι γίνονται: ὁτὲ δὲ προσθετικοὶ καταλαμβάνονται. καὶ ἐπὶ μὲν ἑῴας ἀνατολῆς οἱ ἀστέρες τυγχάνοντες, ἐνεργεῖς καὶ δραστικοὶ ἀπὸ νεότητος πρὸς τὰ ἴδια ἀποτελέσματα νοείσθωσαν. ἐπὶ δὲ ἑσπερίας ἀνατολῆς, κατὰ τὴν τῶν χρόνων πρόσβασιν, ἐν τοῖς ἰδίοις ἀποτελέσμασιν ἐνεργοῦσιν. ἑῴαν δὲ καὶ ἑσπερίαν κρύψιν ποιούμενοι, ἢ καὶ ὑποποδίζοντες, ἢ καὶ ἀποκεκλικότες, ἀδρανεῖς καὶ ἀπράκτους καὶ ἀνεπιφάντους τὰς ἀποτελέσεις ἔχουσιν. ἑῷοι δὲ ἀνατολικοὶ οἱ ἀστέρες γίνονται, ὅταν ἀποδιαστῶσι τοῦ ἡλίου μοι. ιε, ἐν ταῖς προηγουμέναις μοι., ἢ ἐν τοῖς προηγουμένοις ζῳδίοις: ἕως ἂν εἰς τὸ δέξιον Β αὐτῶν τρίγωνον τὴν κίνησιν ποιούμενοι εὑρεθῶσιν. ἑσπέριοι δέ, ὅταν ἐν ταῖς ἑπομέναις μοι. ἢ ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ☉ ἀποδιαστῶσι, τὰς προειρημένας ιε μοι; ἕως ἂν εἰς τὸ εὐώνυμον αὐτοῦ τρίγωνον Γ εὑρεθῶσιν. ἐντὸς δὲ τῶν προειρημένων ιε. μοι; τὴν διάστασιν πρὸς τὸν ☉ ἐσχηκότες, ἐν μὲν ταῖς προαναφερομέναις μοι. τοῦ ☉ παρόντες, ἑῴαν δύσιν ποιοῦνται: ἐν δὲ ταῖς ἐπαναφερομέναις, ἑσπερίαν. συνοδικοὶ δὲ γίνονται ὅταν κατὰ τὸ αὐτὸ ζῴδιον ἰσόμοιροι τοῦ ☉ τύχωσι, μὴ ἀπέχοντες ἀπ' αὐτοῦ πλεῖον ἢ ἔλασσον, λεπτῶν νθ΄. ἐπὶ πλεῖον δὲ ἀδρανεῖς καὶ ἄπρακτοι πρὸς τὰ ἴδια ἀποτελέσματα οἱ ἀστέρες γίνονται, ὅταν τις αὐτῶν θ μοιρῶν ἐντός, ἀποδιαστῇ τοῦ ☉: εἴτε ἐπὶ ἑῴας δύσεως, εἴτε ἐπὶ ἑσπερίας τυγχάνει. πρὸς δὲ τὸ τὰ προειρημένα εὐχερῶς νοεῖν, θὲς εἶναι τὸν ☉ ἐν ♓ μοι. ιζ. τὸν δὲ τοῦ ♃ ἀστέρα κατὰ τὸ αὐτὸ ζῴδιον, μοι. β. ♄ δέ, ἐπὶ τῶν ♓ μοι. κς. λεγομένου οὖν, τὸν μὲν τοῦ ♃ ἑῷον ἀνατολικὸν εἶναι: ὅτι ἐν ταῖς προηγουμέναις τοῦ ☉ μοι. ἐσχημάτισε. τὸν δὲ τοῦ ♄, ἑσπέριον, δυτικόν: ὅτι ἐν ταῖς ἑπομέναις μοι. οὐκ ἀπέστη τοῦ ☉ τὰς προειρημένας ιε μοι. πρὸς δὲ τὸ διασαφῆσαι τὸ λεγόμενον, αἱ προηγούμεναι μοι. καὶ τὰ προηγούμενα ζῴδια τοῦ ☉, ἕως τοῦ

τοῦ

A Faciunt autem apparitiones ad Solem ☞ errantes ſtel-
læ : nunc quidem matutinos ortus & veſpertinos occaſus,
nunc verò veſpertinos ortus & occaſus matutinos, quan-
do eorum iter ad primam & ſecundam ſtationem, tendit : à
quibus et curſum ſuum remittere aliquando, & veſperi è regi-
one ☉lis oriri: aliquando curſum intendere deprehenduntur.
Ac in matutino ortu cùm ſunt ſtellæ, efficaces & promtæ,
tanquam in prima ætate, eſſe iudicantur, ad ſignificata ſua
perficienda. In veſpertino ortu, temporis progreſſu operari
incipiunt, & effectus ſuos producere. Matutinam verò &
veſpertinam occultationem facientes, aut etiam regredien-
tes, aut in cadentibus domibus conſtitutæ : imbecilles & irri-
tas, & haud illuſtres effectiones habent. Matutinæ orientales
ſtellæ ſiunt, cùm à Sole diſtiterint partibus 15, in partes aut ſi-
gna præcedētia, donec ad dextrum B ſuum triangulum promo-
ueantur. Veſpertinæ, cùm in partes aut ſigna ſequentia à Sole
abfuerint ijſdem 15 partibus, donec in ſiniſtro ſuo trigono C
reperiantur. Intra verò 15 partes illas diſtantiam à Sole nactæ,
in partibus ante Solem aſcendentibus occaſum matutinum fa-
ciunt : in aſcendentibus poſt Solem, veſpertinum. Coniun-
guntur cum Sole, quando in eodem ſigno eandem cum Sole
partem tenent, non remotæ ab eo plus minusúe 59 minutis.
Plerunq; verò infirmæ & inertes ad proprias effectiones ſtellæ
redduntur, cùm aliqua earum intra 9 partes diſtiterit à Sole,
ſiue in matutino occaſu id fiat, ſiue in veſpertino. Atq; vt,
quæ dicta ſunt, faciliùs intelligantur, fac Solem eſſe in piſci-
um parte 17, ſtellam Iouis in eiusdem ſigni parte 2, Satur-
num in piſcium parte 26. Dicimus ergo, Iouem matuti-
num orientalem eſſe, quoniam in præcedentibus Solem
partibus locum obtinuit: Saturnum verò veſpertinum oc-
cidentalem, quoniam in conſequentia non diſtat à Sole 15
partibus. Sed vt clariùs explicetur, quod dictum eſt:
præcedentes partes, & ſigna præcedentia, vſque

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

τοῦ τριγώνου πλευρᾶς, ἐν ταῖς προαναφερομέναις μοίραις καὶ τῷ δεξιῷ μέρει τοῦ ☉, ἑῷοι σχηματίζουσιν. αἱ δὲ ἑπόμεναι μοίραι καὶ τὰ ἑπόμενα ζώδια, ἕως τῆς τριγώνου πλευρᾶς τοῦ ☉, ἐν ταῖς ἐπαναφερομέναις μοίραις καὶ τῷ εὐωνύμῳ μέρει τοῦ ☉, ἑσπερίαν τὴν θεωρίαν ἴσχουσι. καὶ αἱ μὲν πρὸς τὸν ☉ τῶν ἀστέρων γινόμεναι δορυφορίαι, ἐν ταῖς προηγουμέναις μοίραις, καὶ τοῖς προηγουμένοις ζωδίοις τοῦ ☉ εἰσὶν, ἕως τῆς τριγώνου πλευρᾶς. ☞ αἱ δὲ πρὸς τὴν ☾, ἐν ταῖς ἑπομέναις αὐτῆς μοίραις ἕως τοῦ ἑξῆς ζωδίου τετεύχασι. τότε δὲ πρὸς τὸν ☉ γινόμεναι τῶν ἀστέρων δορυφορίαι ἐνεργεῖς καὶ ἰσχυρότεραι ὑπάρχουσιν, ὅταν ἐν τῷ αὐτῷ ζωδίῳ ἑῷοι ἀνατολικοὶ σὺν ☉ ἐν τοῖς † ἐπικαίροις τόποις τῆς γενέσεως σχηματίσαντες εὑρεθῶσι, τῆς αἱρέσεως ὄντες, ἢ * οἰκοδέκτορες τοῦ ☉ ὑπάρχοντες. ὁ δὲ αὐτὸς τρόπος καὶ ἐπὶ τῆς ☾, δραστικώτερος καὶ ἐνεργέστερος νοείσθω.

☞ Οἱ τρεῖς ♄. ♃ καὶ ♂. οὗτοι γὰρ σχηματίζονται πρὸς τὸν ☉ κατὰ πάντα σχηματισμόν.

☞ Γίνονται γὰρ καὶ πρὸς τὴν ☾ δορυφορίαι, καὶ ἐν τοῖς ἡγουμένοις, καὶ ἑπομένοις, ἐν τῷ αὐτῷ δὲ ζωδίῳ. μέχρι γὰρ τότε αὐτῆς ἑῷον ἀνατολικὸν τὸν ἀστέρα ἢ ἑσπέριον λέγομεν: μέχρις ἂν ἐξέλθῃ τὸ ζώδιον ἡ ☾, ἐν ᾧ πεποίηται πρὸς αὐτὴν τὰς φάσεις ἀστέρες.

† Τουτέστιν ἐν τῷ ὡροσκόπῳ, ἢ ἐν τῷ μεσουρανήματι· οὗτοι γὰρ λέγονται ἐπίκαιροι τόποι.

* Ὅταν τὸν ☉ ἔχῃ τις εἰς τὸν ἴδιον οἶκον, τότε οἰκοδέκτωρ αὐτοῦ λέγεται.

ΣΧΟΛΙΟΝ Α.

Ἐπὶ μὲν τῶν τριῶν ἀστέρων, νοητέον τὴν ἑῴαν ἀνατολὴν καὶ τὴν ἑσπερίαν δύσιν. τὴν δὲ ἑσπερίαν ἀνατολὴν καὶ ἑσπερίαν δύσιν, καὶ ἑῴαν ἀνατολὴν καὶ ἑῴαν δύσιν, ἐπὶ τῶν β νοητέον, ☿ καὶ ♀.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ad trigonum latus Solis, in partibus antè aſcendentibus, & in dextro latere Solis, matutina exiſtunt. Sequentes verò partes & ſequentia ſigna, vſq; ad triangulum Solis, in partibus pòſt aſcendentibus, & ſiniſtro latere Solis, pro veſpertinis habentur. Et ſtipatio quidem, qua planetæ Solem comitantur, in partibus & ſignis eſt, Solem præcedentibus, vſq; ad latus triangulare. Sed ☜ Lunæ comitatus fit in partibus eam ſequentibus, vſq; ad ſignum proximum. Tunc verò ſtellarum circa Solem ſtipationes efficacitate & robore plùs valent, quando in eodem ſigno matutinæ orientales cum ſole, in locis genituræ oportunis ☜ reperiuntur, eiuſdemq; ſunt conditionis, aut domo Solem recipiunt. † Eadem ratio & in Luna potentior & efficatior eſſe intelligatur.

☞ Hi tres: ♄, ♃ & ♂. Ij enim quacunq; figura Solem aſpiciunt.

☞ Nam & Luna ſtipari ſolet, tùm in præcedentia, tùm in ſequentia, in eodem tamen ſigno. Eò vſq; enim ſtellam reſpectu Lunæ, matutinam orientalem dicimus, aut veſpertinam: donec Luna egrediatur ſignum, in quo apparitiones ad ipſam ſtellæ fecerunt.

† Hoc eſt, in Horoſcopo, aut in medio cæli. Nam hæc dicuntur loca oportuna.

* Quando ſolem aliquis planeta habet in domo propria, tunc hoſpitator eius dicitur.

SCHOLION A.

In tribus planetis intelligendus eſt matutinus ortus, & veſpertinus occaſus. Veſpertinus verò ortus & veſpertinus occaſus: ac matutinus ortus & matutinus occaſus, duobus accidunt, nempe Mercurio & veneri.

ἀκρόνυχος λέγεται, ὅταν ὁ ☉ δύνῃ· ἑῷος δέ, οἷον ὁ ♄, ὁ ♃ ἢ ὁ ♂ ἀνατέλλῃ. ἐπὶ γοῦν τῶν γ ἀστέρων, νοεῖν δεῖ ἑῴαν φάσιν καὶ ἑσπερίαν κρύψιν. ἑῴαν γὰρ κρύψιν καὶ ἑσπερίαν φάσιν, ἐπὶ τῶν τριῶν τούτων οὐκ ἄν τις εὕροι. εἰ γὰρ ἑῴα κρύψις ἐστὶ, ὥσπερ ἐπὶ τῶν ἄλλων δύο γίνεται δῆλον, ὅταν τῆς τελείας ἀπὸ τοῦ ☉ ἀποστάσεως γινομένης τοῦ ἀστέρος, αὖθις προπηδίζῃ ὁ ἀστὴρ, καὶ ἐπὶ τὸν ☉ αὐτὸν χωρῇ· ἐπὶ τῶν τριῶν τούτων μὴ δυναμένου τούτου γίνεσθαι, διὰ τὸ μὴ περὶ αὐτὸν τὸν ☉ τοὺς ἀστέρας τούτους κινεῖσθαι· πῶς κρύψιν ἑῴαν πρὸς αὐτὸν ποιήσονται, γινόμενοι κατὰ τὸ ἀπόγειον τοῦ ἐπικύκλου, καὶ ἀποστάντες τούτου πολλὴν διάστασιν; ἐπὶ γὰρ τοῦ ☿ καὶ τῆς ♀, τοῦ κέντρου τοῦ ἐπικύκλου τὸ αὐτὸ σημεῖον ἐπέχοντος τῇ μέσῃ τοῦ ☉ κινήσει, ὅταν ἀπὸ τοῦ β στηριγμοῦ, ὡς ἐπὶ τὸ ἀπόγειον τοῦ ἐπικύκλου περιΐωσι, τότε ποιοῦνται τὴν ἑῴαν κρύψιν. τοῦτο δὲ περὶ τοὺς τρεῖς οὐ γίνεται. τὸ γὰρ κέντρον τοῦ ἐπικύκλου αὐτῶν, πόρρω τῶν τοῦ ☉ κινημάτων γίνεται καὶ μόνον τηνικαῦτα κατὰ τὸ ἀπόγειον τοῦ ἐπικύκλου ὁ ἀστὴρ ἐστὶ καὶ ὁ ☉ ἅμα, ὅταν ἡ ἑσπερία κρύψις γίνηται. μετὰ δὲ τοῦτο κατὰ τὸν ἑῷον ὁρίζοντα, καὶ τοῦ ☉ καὶ τοῦ ἀστέρος γινομένου, ὁ μὲν ☉ ἐπὶ τὰ ἑπόμενα χωρῶν, ἔξεισι τὸ κέντρον τοῦ ἐπικύκλου. ὁ δὲ ἀστὴρ ἀπὸ τοῦ ἀπογείου τοῦ ἐπικύκλου κατερχόμενος, ὅταν ὁ ☉ σύμμετρον ἀποστῇ, ιε τυχὸν ἢ καὶ κ μοίρας τότε ὁ ἀστὴρ ἑῴαν ποιεῖται φάσιν, κατερχόμενος ἀπὸ τοῦ ἀπογείου τοῦ ἐπικύκλου. τριγωνικὴν δὲ ἀπόστασιν τοῦ ☉ ποιησαμένου, κατιὼν ὁ ἀστὴρ καὶ ἔτι, καὶ γινόμενος ἐν τοῖς προηγουμένοις τοῦ ἐπικύκλου, ποιεῖται στηριγμόν. γινόμενος δὲ κατ' αὐτὸ τὸ περίγειον τοῦ ἐπικύκλου, καὶ τοῦ ☉ ἐπὶ πλέον ἀποχωρήσαντος, γίνεται ἀκρόνυχος, ὡς συμβαίνειν, τοῦ ☉ ἀνατέλλοντος, τὸν ἀστέρα δύνειν, καὶ ἀνάπαλιν τοῦ ἀστέρος ἀνατέλλοντος, τὸν ☉ δύνειν. πλέον δὲ τοῦ ☉ ἀποστάντος, τουτέστιν ἕως σμ μοίρας ἐπὶ ♄ καὶ ♃, ἐπὶ δὲ τὰ ἡγούμενα μοίρας ρκ. συμβαίνει πάλιν, τὸν β γίνεσθαι στηριγμόν, τοῦ ἀστέρος παρελθόντος τὸ περίγειον τοῦ ἐπικύκλου, καὶ γινομένου κατὰ τὴν ὁμοταγῆ θέσιν, ἔνθα ὁ α ἐγένετο στηριγμός. καὶ ἔστι τὸ μὲν α

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Acronychus planeta dicitur, quando Sol occidit: hic verò, vt Saturnus, Iupiter aut Mars oritur. Itaq; in ſtellis tribus conſiderare oportet matutinam apparitionem, & veſpertinam occultationem. Nam matutinam occultationem & veſpertinam apparitionem, in hiſce tribus aliquis non inuenerit. Cùm enim matutina occultatio ſit, (ſicut in reliquis duobus manifeſtum eſt) quando ex integra à Sole diſtantia, ſtella rurſum progreditur, & ad Solem ipſum vadit: & in tribus hiſce hoc fieri nequeat, propterea, quòd hæ ſtellæ circa Solem non voluuntur: quomodo occultationem matutinam reſpectu eius facient, conſtituti circa apogeun Epicycli, & remoti ab hoc ad maximam diſtantiam? Quoniam enim in Mercurio & venere, centrum Epicycli idem punctum obtinet cum medio Solis motu: quando ij planetæ à ſecunda ſtatione verſus apogeun Epicycli progrediuntur, tunc faciunt matutinam occultationem: id quod in tribus illis non accidit. Nam centrum Epicycli eorum, longè à motibus Solis recedit: & ſolùm tunc circa apogion Epicycli ſtella eſt, ſimulq; cum ea Sol, quando veſpertina occultatio facta fuerit. Poſtea circa finitorem orientalem, tùm Sole tùm ſtella conſtitutis, Sol quidem in conſequentia progrediens diſcedit à centro Epicycli: ſtella verò ab apogeo Epicycli deſcendens, quando & Sol ſecundum proportionem tantùm inde diſtiterit, 15 puta aut 20 partes, manè apparere incipit. Sed quando Sol ad triquetram peruenit diſtantiam: ſtella etiamnum deſcendens, & conſtituta in præcedentibus Epicycli partibus, ſtationem facit. Cùm ipſum perigeon Epicycli attigerit, & Sol adhuc longiùs diſceſſerit: ſtella fit acronychus, & contingit, vt Sole oriente, ipſa occidat, ac rurſum ipſa occidente, Sol emergat. Longiùs autem progreſſo Sole, ſcilicet vſque ad 240 partes, in Saturno & Ioue: in præcedentia verò partes 120: ſecunda accidit ſtatio, poſtquàm ſtella pertranſijt perigeon Epicycli, & ſimilem poſitum ſortita eſt ei, in quo prima facta eſt ſtatio. Eſtq; primum

trian-

τρίγωνον τὸ κατὰ τὸν πρῶτον στηριγμὸν, ἀπόστασις τοῦ ἀστέρος πρὸς τὸν ☉ κατὰ δεξιὸν τρίγωνον: ἐπὶ τὰ ἡγούμενα γὰρ αὐτοῦ ἀφίσταται. τὸ δὲ β τρίγωνον, εὐώνυμον: ἐπὶ τὰ ἑπόμενα γὰρ ὁ ἀστὴρ ἀφίσταται. προχωρήσαντος δὲ καὶ ἔτι τοῦ ἡλίου, ὡς συνεγγίσαι τῷ κέντρῳ τοῦ ἐπικύκλου, προβαίνει καὶ ὁ ἀστὴρ ἔτι, καὶ γίνεται κατὰ τὸ ἀπόγειον τοῦ οἰκείου ἐπικύκλου. ἔνθα καὶ πρότερον τῷ μέσῳ συνέμιξεν ☉. καὶ πάλιν γίνεται σύνοδος, κατὰ τὸν ἑσπέριον ὁρίζοντα. καὶ λέγεται τότε κρύψις. ἐπεὶ γὰρ πρότερον φαινόμενος, νῦν ἀφανής ἐστι, συνελθόντος αὐτῷ τοῦ ☉: δῆλον, ὡς κρύπτεται. καὶ οὐκ ἔστιν εἰπεῖν ἐπὶ τῶν τριῶν τούτων ἑσπερίαν φάσιν. μάτην οὖν τούτῳ ἐρραψῴδηται, τὸ καὶ ἐπὶ τῶν τριῶν τούτων λέγειν ἑσπερίαν φάσιν ἢ κρύψιν ἑῴαν, ὥσπερ ἐπὶ τῶν ἄλλων β νοοῦνται καὶ γίνονται.

ΣΧΟΛΙΟΝ Β.

Ἑρμῆς καὶ ♀ πρὸς μὲν τοῦ ☉ οὔτε τρίγωνον ποιοῦσιν, οὔτε ἑξάγωνον, οὔτέ τινα σχηματισμόν. πῶς γάρ, τοῦ μὲν κβ ἀφεστῶτος μοι; τῆς δὲ μη; ἀλλήλους δὲ ἐξαγωνίζουσιν, ὅταν ὁ μὲν πρὸς τὰ ἑπόμενα τοῦ ☉ μοι. κβ ἀφίσταται: ἡ δὲ εἰς τὰ ἡγούμενα μη. γίνονται γὰρ ξ καὶ πλεῖον, ὅσπερ ἑξάγωνον ἐστίν.

ΣΧΟΛΙΟΝ Γ.

Οὐ καλῶς τοῦτο φησίν. ἑσπερίας γὰρ ἀποστῆναι τοῦ ☉ τοὺς τρεῖς τούτους ἀστέρας, εἰς τὸ εὐώνυμον τρίγωνον, ἀδύνατον: ὡς συνοδεύοντας αὐτῷ, καὶ ἔπειτα ἀποστάντας, διὰ τὸ καταλαμβάνεσθαι αὐτοὺς ὑπὸ τοῦ ☉. ἐπὶ δὲ τῶν β, οὐδὲ ὅλως τρίγωνον πρὸς τὸν ☉ ἢ ἕτερον σχῆμα γίνεται.

Περὶ στηριγμῶν.

Ἐνδιαφ.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

triangulum circa primam ſtationem, diſtantia ſtellæ à Sole, ſecundum dextrum triangulum: quia in præcedentia ab eo diſtat. Alterum verò trigonum ſiniſtrum: quia in conſequentia ſtella diſtat. Sole deniq; longiùs progrediente, vt appropinquet centro Epicycli: ſtella etiam vlteriùs mouetur, & accedit ad apogeum ſui Epicycli, vbi antea quoq; cum ipſo ſe coniunxit Sole, fitq; iterum congreſſus circa veſpertinum horizontem, ac dicitur tunc occultatio. Quoniam enim antea apparens ſtella nunc euaneſcit, congrediente cum ea Sole: manifeſtum eſt, quòd occultatur. Nec licet dicere, in tribus hiſce veſpertinam eſſe apparitionem. Itaq; temerè ſuperiori hoc aſſutum eſt, quòd etiam in his tribus nominetur veſpertina apparitio, aut occultatio matutina: quæ in cæteris duobus conſiderari & fieri ſolent.

SCHOLION B.

☿ & ♀ Solem neq; triquetra, neq; ſextili, neq; alia quapiam figura aſpiciunt. Quomodo enim id fiet: hoc 22 diſtante partibus, illa verò 28? Cæterùm inter ſe aſpectu Sextili configurantur, quando hic quidem ſecundum ſignorum ordinem, à Sole diſtat partibus 22: hæc autem contra ſeriem, 48. Conſiunt enim 60 & plùs, qui eſt aſpectus Sextilis.

SCHOLION C.

Non rectè hoc dicit: Nam veſpertinas diſtare à Sole haſce tres ſtellas, in ſiniſtrum trigonum, eſt impoßibile: vtpote quæ comitantur ſolem, & poſtea ab eo diſtant, eò quòd Sol eas inſequitur & apprehendit. In duobus verò inferioribus, nullus omnino trigonus aut alius, ad Solem fit aſpectus.

De ſtationibus.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Ἐνδιάφοροι δὲ οἱ στηριγμοὶ τῶν ἀστέρων, καὶ οὐχ οἱ αὐτοὶ γίνον-
ται. ὁ μὲν τοῦ ♄ καὶ ♃ καὶ τοῦ ♂ ἀποστάντες τοῦ ☉, πλέον ἢ ἔλασ-
σον μοι; ρκ, καὶ κατὰ τὸ δεξιὸν αὐτοῦ τρίγωνον φανέντες, τὸν πρῶτον
στηριγμὸν ποιοῦνται, καὶ βραδυτέρως κινούμενοι κατὰ τὴν αὐτὴν μοι;
εἰλοῦνται, ἕως ἂν ἀναποδίσαντες, τοῖς ἀριθμοῖς ἀφαιρετικοὶ γένων-
ται, τοῦ πρώτου αὐτῶν στηριγμοῦ, ἐπὶ τὴν τῶν ἀριθμῶν ἀφαίρε-
σιν τρεπομένου: τοῦ δὲ β, ἐπὶ πρόσθεσιν. καὶ [illegible] καθολικῶς δὲ, ἀφαι-
ρετικοὶ τοῖς ἀριθμοῖς οἱ προειρημένοι τρεῖς ἀστέρες γίνονται, ὅταν
ϛ, ἢ ζ, ἢ η ζώδια τοῦ ☉ ἀποδιαστῶσι, καὶ κατὰ ☍ αὐτοῦ φανέν-
τες, ἔσω μοι; ρπ, ὅπερ ἐστὶ ζώδια ζ, ἀπὸ τῆς ἡλιακῆς ἀκτῖνος
ἀκρόνυκτον τὴν φάσιν ἔχουσι. καὶ [illegible] ἀναποδίσαντες, ἐπὶ πλεῖον
τοῖς ἀριθμοῖς ἀφαιροῦσι, καὶ τῇ αὐτῶν περιφερείᾳ μείζους φαί-
νονται, ἀπὸ τῆς τοῦ ☉ ἀκτῖνος τὸ διαυγὲς φῶς λαμβάνοντες. στη-
ριγμὸς δὲ γίνεται δεύτερος τῶν προειρημένων ἀστέρων, ὅταν εἰς
τὸ ἑπόμενον μέρος τῆς τοῦ ☉ ἀκτῖνος ἀποδιαστῶσι, πλεῖον ἢ
ἔλασσον μοι; ρκ, ἐν τῷ εὐωνύμῳ τριγώνῳ τοῦ ☉ τετυχότες οἱ
ἀστέρες, καὶ ἀρξάμενοι προποδίζειν ἐπὶ τούτου τοῦ σχήματος, τα-
χυτέραν τὴν κίνησιν ποιοῦνται, προσθετικοὶ τοῖς ἀριθμοῖς ἐπὶ
τοῦ ζωδιακοῦ γινόμενοι. ὅθεν οἰκείως ἐκλήθησαν στηριγμοί. ὁ
μὲν οὖν α, ἀπὸ τοῦ ἑστάναι τοὺς ἀστέρας, καὶ ἀναποδίζειν αὐτούς,
ἀφαιροῦντας τοῖς ἀριθμοῖς, ἐκλήθη στηριγμὸς ἀφαιρετικός: ὁ
δὲ β, ἀπὸ τοῦ ἑστάναι, καὶ προστιθέναι εἰς κίνησιν ταχυτέραν τοῖς
ἀριθμοῖς, ἐκλήθη στηριγμὸς προσθετικός. ἀκρόνυκτοι δὲ
λέγονται, ἐπειδὴ κατὰ ☍ τοῦ ☉ τυχόντες, μετὰ δύσιν αὐτοῦ ἀνα-
τέλλουσι. μόνος δὲ ὁ τοῦ ♂ ἀστὴρ ⊕ ἀνωμάλως κινεῖται, ὅταν
στηρίζειν μέλλῃ. καὶ τὴν μὲν πρώτην ἀνωμαλίαν ποιεῖται, ὅτε ἑῷος
ἀνατολικὸς ὤν, διΐσταται τοῦ ☉ μοι. πβ, ἐπὶ τὸν α στηριγμὸν φε-
ρόμενος: τὴν δὲ δευτέραν, ὅταν ἑσπέριος ἀνατολικὸς φαίνηται,
τὰς αὐτὰς πβ. μοι; διεστηκὼς τοῦ ☉, ἀπὸ τοῦ β στηριγμοῦ φε-
ρόμενος, καὶ τοῖς ἀριθμοῖς προστιθείς. ἐκλήθησαν δὲ ἀνωμαλίαι

ὅτι

Diuerſæ ſtationes ſtellarum ſunt, nec eædem. Nam Saturnus, Iupiter & Mars, diſtantes à Sole plùs aut minùs partibus 120, in dextro eius trigono, primam ſtationem faciunt: tardiusq́ circa eandem partem voluuntur, donec regredientes, curſum inhibeant, eorum prima † ſtatione in diminutionem numerorum conuerſa: Secunda verò, in numerorum aut motus incrementum. Vniuerſaliter autem diminutæ numeris fiunt tres eæ ſtellæ, cum 6 vel 7 vel 8 ſignis à Sole diſtiterint. Et in oppoſitione eius conſiſtentes, intra partes 180 (quæ ſunt ſigna 6) ſole veſperi occultato, ipſæ in ortu emergunt. Ac pedem ☞ retrahentes, plùs numeris auſſerunt, maioresq́ in ambitu ſui corporis apparent, ſplendidum lumen à Solis radio accipientes. Statio ſecunda illarum ſtellarum fit, vbi ſecundum ſignorum ordinem à radio Solis diſtiterint, plùs aut minùs partibus 120, in ſiniſtro trigono Solis conſtitutæ: & quando progredi incipientes in hac figura, velociorem motum faciunt, vtpote numeris in zodiaco adÿcientes. Vnde concinnæ ſunt ſtationum appellationes. Prima enim, quòd ſtellæ ſtant & regrediuntur, detrahentes numeris aut motui, vocata eſt ſtatio auſſerens: Altera à ſtando & adÿciendo, quòd motu celeriore numeris aliquid addatur, adÿcientis ſtationis nomen acquiſiuit. Acronycti verò dicuntur, quando circa oppoſitum Solis radium, poſt occaſum eius oriuntur. Sola Martis ⊕ ſtella inæqualiter mouetur, quando ſtationalis futura eſt. Et primam quidem anomaliam Mars facit, quando matutinus orientalis diſtat à Sole partibus 82, ad primam ſtationem tendens: alteram, cùm veſpertinus orientalis apparuerit, itidem partibus 82 à Sole remotus, & à ſecunda ſtatione diſcedens, numerisq́ auctus. Vocârunt anomaliam,

ὅτι ἀνωμάλως † τὴν κίνησιν ποιεῖται ὁ ἀστὴρ, ἐπὶ τούτων τῶν σχημάτων καθεστώς. πάντοτε δὲ ὁ ἀστὴρ οὗτος, εἴτε τὴν α ἀνωμαλίαν ποιεῖται, εἴτε τὴν β, ἐπὰν δὲ ● τὸν ☉ καλοπλύσῃ: τὴν πατρικὴν περιουσίαν ἐρημοῖ, καὶ αὐτῷ τῷ πατρὶ ὄλεθρος γίνεται. πρὸς τούτοις δὲ καὶ σινῶν ἢ παθῶν, μάλιστα δὲ περὶ ὀφθαλμοὺς ἢ φρενοβλαβείας τὴν κάκωσιν ποιεῖται: τῆς αἰτίας ἐσομένης, ὁ τε μὲν περὶ τὸν πατέρα, ὁ τε δὲ περὶ αὐτὴν τὴν γένεσιν. ὁ δὲ τῆς ♀ καὶ τοῦ ☿, ἐπὶ τῆς τῶν στηριγμῶν κινήσεως, ἐνδιάφορον τὴν παραλλαγὴν ἔχουσι. στηριγμὸς γὰρ γίνεται α, ἐπὶ τῶν β τούτων ἀστέρων, ἐνδιαφόροις μοι. καὶ ὁ μὲν στηρίζει, ὅταν εἰς τὸ ἑπόμενον μέρος τοῦ ☉ ἀποδιαστῇ μοι. μη: τότε γὰρ ἄρχεται ἀναποδίζειν καὶ ἀφαιρεῖν τοῖς ἀριθμοῖς, βραδυτέραν τὴν κίνησιν ποιούμενος: ἄχρις ἂν τῷ ☉ συνοδεύσας, εἰς ἑῴαν ἀνατολὴν καταντήσῃ, καὶ τὰς αὐτὰς μη μοι. ἀποδιαστῇ τοῦ ☉, καὶ τὸν β στηριγμὸν ποιήσηται. ὁ δὲ τοῦ ☿ ἀστὴρ ποιεῖται τὸν α στηριγμὸν, ὅταν ἐν τῷ ἑπομένῳ ζωδίῳ τοῦ ☉ ἀποδιαστῇ, μοι. κβ: καὶ τότε ἄρξηται ὁμοίως ἀναποδίζειν, βραδυτέραν τὴν κίνησιν ποιούμενος, ἄχρις ἂν τῷ ☉ συνοδεύσας, ἐπὶ τὴν ἑῴαν ἀνατολὴν καταντήσῃ, καὶ τὰς αὐτὰς κβ μοι. ἀποδιαστῇ τοῦ ☉, καὶ τὸν δεύτερον στηριγμὸν ποιήσηται. ὁ μὲν τῆς ♀, οὐκ ἀφίσταται τοῦ ☉ πλεῖον ζωδίων β. ὁ δὲ τοῦ ☿, μέχρις ἑνὸς ζωδίου. τὴν δὲ ἀκρίβειαν τούτων ὁ πρόχειρος κανὼν Κλαυδίου Πτολεμαίου παραστήσει.

† Μετὰ γὰρ τὸν πρῶτον στηριγμὸν, ἀφαιρεῖ πλεῖον ἐπὶ τοῦ ζωδιακοῦ, κινούμενος ἐν τῷ ἐπικύκλῳ κατὰ τὸ περίγειον: ἀφαιρούντων τῶν ἐν τῷ περιγείῳ ἡμερησινῶν κινημάτων, τινὰ λεπτὰ, ἐν τῷ ζωδιακῷ.

Μέχρι γὰρ δ ζωδίων προστιθεὶς, στηρίζει τηνικαῦτα. μετὰ δὲ τοῦτο, ἄρχεται ἀφαιρεῖν, τοῦ ☉ προϊόντος, ἐπὶ τὸ μετ' αὐτὸν, ε ἢ καὶ ς ζώδιον.

☞ Ἀπὸ τοῦ περιγείου τοῦ ἐπικύκλου ἀνερχόμενοι, μετὰ τὴν ἀκρόνυκτον, εἰς τὸ ἀπόγειον, ἵνα καὶ ὁ β στηριγμὸς γένηται.

⊕ Οὐδὲ

quia inæqualiter † mouetur ſtella Martis, in his figuris conſti-tuta. Semper hæc ſtella, ſiue primam anomaliam faciat, ſiue ſecundam, ſi Solem ☙ aſpexerit, bona patria diſsipat, & ipſi patri ſit pernicioſa. Inſuper & vitiorum ac morborum autor ſit: maximè verò, oculos aut mentem lædendo detrimentum adfert, ita vt cauſa interdum ſit in patre, interdum in ipſa genitura. Cæterùm ſtella veneris & Mercurij in ſtationum motu, aliam quàm tres ſuperiores differentiam habent. Statio enim prima harum duarum ſtellarum ſit in diuerſis partibus: & venus quidem ſit ſtationalis, cum ſecundum ſignorum ordinem à Sole diſtiterit, partibus 48. Tunc enim incipit regredi, & ſubtrahere numeris, tardiùs ſe mouens, donec cum Sole coniuncta, in matutinum ortum occurrat: & poſtea iiſdem partibus 48 diſtans à Sole, ſecundò ſit ſtationalis. Sed ſtella Mercurij primam ſtationem facit, cùm in ſequenti ſigno à Sole diſtiterit partibus 22. & tunc ſimiliter incipit regredi, tardiori motu incedens, donec Soli copulata occurrerit in matutinum ortum: & iiſdem 22 partibus à Sole remota, ſecundam ſtationem facit. Stella quidem veneris non recedit à Sole longiùs duobus ſignis: Mercurius verò vſque ad ſignum vnum. Exquiſitam horum rationem ♞ exhibebit Canon Claudij Ptolemæi, qui extat.

† *Poſt primam enim ſtationem ſtella plus ſubtrahit de zodiaco, mota in Epicyclo circa perigeun: ſubtrahentibus in perigeo diurnis motibus, aliquot minuta in zodiaco.*

≋ *Nam vſque ad quatuor ſigna, numeris addens, ſtationem ibi facit. Poſt verò incipit ſubtrahere, Sole ab eo progrediente, vſque ad 5 aut 6 etiam ſignum.*

☞ *In perigio Epicycli aſcendentes, poſt acronyction, verſus apogium, vt etiam altera ſtatio fiat.*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

⊕ Οὐδὲ γὰρ ἐν ταῖς ρκ μοι. οὗτος στηρίζει· ἀλλ' ἢ ἐν πβ. ἢ πδ. διὸ καὶ ἀνωμάλως λέγεται στηρίζειν. γίνεται δὲ τοῦτο, διὰ τὴν ταχεῖαν αὐτοῦ ὁμαλὴν κίνησιν ἐπὶ τοῦ ἐπικύκλου. λα. γὰρ κινεῖται.

† Διὰ τὸ μὴ ὡρισμένας εἶναι τὰς μοίρας ἐν αἷς τὸν στηριγμὸν οὗτος ποιεῖται.

§ Ἵνα τετράγωνος γένηται πρὸς αὐτόν. μετὰ γὰρ τὸν στηριγμὸν, ἐν τῇ πβ μοίρᾳ γινόμενον, μετὰ η μοίρας γεγωνὼς ϙ, τετράγωνος ἔσται πρὸς τὸν ☉.

Ἐν γὰρ τοιούτῳ κανόνι, ἡ μεγίστη προσθαφαίρεσις τούτων δήλη γίνεται, ἐκ τῶν τῆς ἀνωμαλίας κανονίων.

Περὶ ὧν ποιεῖται σχημάτων, ἡ ☾ πρὸς τὸν ☉.

Τὰ δὲ τῆς ☾ σχήματα, ἅπερ καλεῖται † φάσεις, ἐστὶ τάδε: σύνοδος, γλύνα, ἀνατολὴ, μηνοειδὴς α, μηνοειδὴς β, διχότομοι β, ἀμφίκυρτοι β, πανσέληνος. τινὲς δὲ βούλονται καὶ ιά. προστιθέναι, τὸ πλησισέληνον. καὶ σύνοδος μὲν ἐστιν, ὅταν ἡ ☾ ἰσόμοιρος τῷ ☉ κατὰ τὸ αὐτὸ ζώδιον τύχῃ. γλύνα δὲ, ὅταν τὸν ☉ παρέλθῃ μοι. μίαν. Ἀνατολὴ δὲ, ὅταν μοι. ιε παραλλάξῃ. Μηνοειδὴς φαίνεται α. ὅταν ἡ ☾ εἰς τὸ ἑπόμενον μέρος τοῦ ☉ ἀποδιαστῇ μοι. ξ, ἐπὶ ἑξαγωνικοῦ σχήματος καθεστῶσα. διχότομος δὲ ἐστι α, ὅταν ἡ ☾ εἰς τὸ ἑπόμενον μέρος τοῦ ☉, ἀποδιαστῇ μοι. ϙ, ἐπὶ τετραγώνου πλευρᾶς ὑπάρχουσα. Ἀμφίκυρτος δὲ ἐστι α, ὅταν εἰς τὸ ἑπόμενον μέρος τοῦ ☉ ἀποδιαστῇ μοι. ρκ, ἐπὶ τριγώνου πλευρᾶς καθεστῶσα. πλησισέληνος δὲ, ὅταν ἀπὸ ϛ ζωδίων, μοι. δὲ ρν, ἐν τοῖς ἑπομένοις τοῦ ☉ τυγχάνῃ, μήπω τὴν διάμετρον ποιησαμένη. πανσέληνος δὲ ἐστιν, ὅταν εἰς τὸ ἑπόμενον μέρος τοῦ ☉ ἀποδιαστῇ ἡ ☾, μοι. ρπ, ἐπὶ διαμέτρου στάσεως, ὃ καλεῖται πανσεληνιακὸς σύνδεσμος. ἀπόκρουσις δὲ ἐστιν, ὅταν ἡ ☾ παραλ-

⊛ *Neq; enim in 120 partibus hæc ſtat: Sed aut in 82 aut 84. Ideo & inæqualiter dicitur ſtationem facere. Fit autem hoc, ob celerem eius motum medium in Epicyclo. 31 enim Scrupulis mouetur.*

† *Propterea quòd non definitæ ſunt partes, in quibus ſtationem hic facit.*

§☾ *Vt in quadrato ipſius ſit. Nam poſt ſtationem, in 82 parte factam, accedentibus 8 partibus, 90 diſtabit, & quadratum cum Sole conficiet.*

♑ *Nam in eo Canone maxima proſtaphæreſis aut æquatio horum manifeſta eſt, ex canonijs anomaliæ.*

De configurationibus Lunæ erga Solem.

Figuræ Lunæ, quæ apparitiones† vocantur, ſunt hæ: congreſſus, progenies, ortus, corniculans prima, corniculans ſecunda, dimidiatæ duæ, gibboſæ duæ, plena: quidam vndecimam addere volunt, proximam plenilunio. Congreſſus eſt, cùm Luna eandem cum Sole partem, in eodem ſigno obtinuerit. Progenies, cùm Solem tranſierit parte vna. Ortus, quando partibus 15 anteuerterit. Corniculans prima apparet, cùm Luna ſecundum ſignorum ordinem, à Sole diſtiterit partibus 60, conſtituta in figura Sextili. Dimidiata prima eſt, cùm in ſequentia remota fuerit à Sole partibus 90, in latere quadrato. Gibboſa prima, cùm in ſequentia à Sole abfuerit partibus 120, conſtituta in latere triangulari. Proxima plenilunio, quando citra 6 ſigna, partes autem 150, ſecundum ordinem ſignorum à Sole abſuerit, nondum ei oppoſita. Plena toto orbe eſt, cum ſecundum ſignorum ſeriem, diſtantia eius à Sole fuerit partium 180, in oppoſita ſtatione conſtitutæ, qui nodus plenilunaris appellatur. Seneſcens Luna eſt, cùm tranſie-

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

παραλλάξῃ τὴν κατὰ διάμετρον ἡλιακὴν μοι. ὁ καλεῖται μειώσεως, μοίρας * ξ λ * Ἀμφίκυρτος δέ ἐστι δευτέρα, ὅταν ἐκ τοῦ ὄπισθεν μέρους τοῦ ☉ ἀποδιαστῇ μοι ρκ, ἐπὶ τριγώνου πλευρᾶς καθεστῶσα. διχότομος δὲ ϛ, ὅταν ἐκ τοῦ αὐτοῦ μέρους τοῦ ☉, ἀποδιαστῇ μοι. ϙ, ἐπὶ τετραγώνου πλευρᾶς ὑπάρχουσα. μηνοειδὴς δέ ἐστι β, ὅταν ἐκ τοῦ ὄπισθεν μέρους τοῦ ☉ ἀποδιαστῇ μοι. ξ, ἐπὶ ἑξαγώνου σχήματος. ὅθεν οἰκείως κατὰ τὴν τῶν σχημάτων ἐναλλαγὴν, καὶ τὰς ὀνοματοποιίας ἔχει. Σύνοδος γὰρ ἐκλήθη, ἀπὸ τοῦ συνιέναι τῷ ☉ τὴν ☾, καὶ τὴν αὐτὴν αὐτῷ ὁδὸν τροχάζειν. γέννα δὲ ἐκλήθη, ἐπεὶ παραλλάξασα αὐτὸν μοι. ά, ἄρχεται φαίνεσθαι, οὐχ ὡς πρὸς ἡμᾶς. Ἀνατολὴ δὲ, ὅταν παρελθοῦσα μοι. ιε, γραμμοειδὲς φῶς ἀναλαβοῦσα φαίνηται. μηνοειδὴς δὲ ἐκλήθη, ἐπειδὴ τὴν ὁμοίαν αὐτῆς ἰδέαν ἀναλαβοῦσα φαίνεται: αὐτὴ γὰρ ἡ ☾ μήνη ἐστὶν, ἐπειδὴ καὶ μηνιαίαν τὴν ἀνατολὴν ποιεῖται. Διχότομος δὲ ἐκλήθη, ἐπειδὴ καθ᾽ ἡμίσειαν τοῦ φωτὸς γενομένη, διχοτομιαία φαίνεται. Ἀμφίκυρτος δὲ ἐκλήθη, ἐπειδὴ ἐξ ἀμφοτέρων τῶν μερῶν κυρτοειδὴς θεωρία τοῦ φωτὸς αὐτῆς φαίνεται. πλησισέληνος δὲ ἐκλήθη, ἀπὸ ϛ ζωδίου φανεῖσα. πανσέληνος δὲ, ὅτε πεπλήρωται τῷ φωτὶ, ἀπὸ τῶν τοῦ ☉ αὐγῶν, κατὰ ☍ αὐτῷ στάσιν φανεῖσα, ἅπαν τὸ σέλας τοῦ φωτὸς πεπληρωμένον ἔχουσα: ὅθεν καὶ αὐτὴ, ὁμοία αὐτῷ κυκλοειδὴς φαίνεται. ἀποκρουστικὴ δὲ ἐκλήθη, ἐπειδὴ παραλλάξασα τὰς κατὰ ☍ ἀκτῖνας, ἀπὸ τότε ἐκκρουσμὸν καὶ μείωσιν τῶν φωτισμῶν αὐτῆς ἔχει.

† Φάσεις λέγεται ταῦτα, ὅτι τῇ πρὸς τὸν ☉ ἀποστάσει φαίνονται.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

transſierit partem Soli directè oppoſitam, qui vocatur nodus diminutionis, * * Gibboſa altera eſt, cùm à tergo Solis relicta fuerit partes 120, in latere triquetro. Dimidiata altera, cùm ex eadem parte, à Sole fuerit remota partes 90, in latere quadrato. Corniculans altera, cùm retrò abſuerit à Sole, partes 60, in figura ſextili. Vnde & conuenientia, pro figurarum immutatione nomina accepit. Congreſſus enim ab eo appellatus eſt, quòd congreditur cum Sole Luna, & eodem cum eo itinere pergit. Progenies, quia præteriens ipſum vna parte, incipit naſci & apparere, etiamſi nos non ſentiamus. Ortus, quando tranſgreſſa partes 15, lumen lineæ inſtar exile terris oſtendit. Corniculans Luna nominata eſt, quoniam ea, qua notari ſolet figura apparet: Nam ipſa Luna eſt Μήνη, quando tali figura oritur. Dimidiata dicta eſt, quoniam dimidia ſui portione illuminata cernitur. Gibboſa, quia ex vtraq; parte, incurua vel inflexa ſpecies luminis eius apparet. Propinqua plenilunio vocata eſt, quando citra ſextum ſignum conſpicitur. Plena, quando lumine tota colluſtrata eſt à Solis radijs, in oppoſito eius conſtituta, & omne iubar luminis in ea refulget: unde etiam ipſa ſimilis Soli, orbicularis apparet. Seneſcens dicta eſt, quando prætergreſſa radios oppoſitos, ad extinctionem & diminutionem luminis tendit.

* Partis unius minutis triginta.

† Apparitiones vocantur, quoniam tales apparent, pro diſtantia à Sole.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Περὶ ἧς ποιεῖται ἀπορροίας καὶ συναφῆς ἡ ☾, πρὸς τοὺς πλανωμένους ἀστέρας.

Τοῦ περὶ συναφῆς καὶ ἀπορροίας λόγου πολυτελοῦς τετυχότος, ἀναγκαῖόν ἐστι, παραστῆσαι τὴν τούτου διδασκαλίαν. ἔχει δὲ οὕτως: μεθ' οἷου ἂν ἀστέρος ἡ ☾ τύχῃ, πλειονομοιροῦσα, κατὰ τὸ αὐτὸ ζώδιον, ἀπὸ τούτου τὴν ἀπόρροιαν πεποίηται. ὥσπερ δὲ ὃς ἂν τῶν ἀστέρων, σὺν τῇ σελήνῃ ἐπὶ τοῦ αὐτοῦ ζωδίου ὑπάρχων, πλείονας αὐτῆς μοι. ἔχων χρηματίσῃ: αὐτὸς τὴν συναφὴν αὐτῆς ἐπιδέχεται. τῷ δὲ αὐτῷ τρόπῳ, καὶ ἐὰν ἐπὶ τῷ ἑπομένῳ ζωδίῳ ἢ τῷ προηγουμένῳ τῆς ☾ εὑρεθῶσιν οἱ ἀστέρες, εἴσω τῆς τριακονταμοιρίας ὑπάρχοντες, τὸν τῆς συναφῆς καὶ ἀπορροίας ὅρον ἴσχουσιν. ὑποδείγματος χάριν: τῆς ☾ οὔσης ἐν ♐ μοι. κ, τοῦ δὲ ♂ ἐν ♏ μοι. κ, καὶ τῆς ♀ ♑ μοι κ. λέγομεν, τὴν ἀπόρροιαν τῆς ☾ γεγενῆσθαι, ἀπὸ τοῦ ♂. τὴν δὲ συναφὴν πρὸς τὸν τῆς ♀ ἀστέρα ποιεῖσθαι. οὕτως δὲ καὶ ἐπὶ τῆς κατὰ τὸ αὐτὸ ζώδιον, τῶν ἀστέρων σὺν τῇ ☾ γιγνομένης κατὰ συμπαρουσίαν, εἴτε ἀπορροίας εἴτε συναφῆς, πραγματευτέον. Φέρε εἰπεῖν: ☾ ἐστι ♉ μοι. ι. ὁ τοῦ ☿ μοι. θ. ὁ δὲ τοῦ ♃ μοι ια. λέγομεν, τὴν ☾ ἀπόρροιαν πεποιῆσθαι ἀπὸ τοῦ ☿, καὶ συνάπτειν τῷ τοῦ ♃ ἀστέρι. Δεῖ δὲ ὁ περὶ ἀπορροίας καὶ συναφῆς λόγος ἕως τῆς τριμοιρίας † ἀπὸ α πραγματευόμενος, ὑπεράγαν ἐνεργεῖ, πρὸς τὸ τῶν ἀποτελεσμάτων εἶδος. δευτερεύει δέ, ἡ ἀπὸ α μοι. τὸν ἀριθμὸν ἔχουσα, ἕως τῆς ἑπταμοιρίας, τῆς προειρημένης μοιρογραφίας. τρίτη δὲ κατ' ἐνέργειαν, ἡ ἀπὸ α μοι; ἕως τῆς ιε. καὶ δὴ πραγματεύεται πρὸς τὸν περὶ ἀπορροίας καὶ συναφῆς λόγον, ἀπὸ α, ἕως τῆς λ, διάστασις λαμβανομένη. * Χρησόμεθα δέ, καὶ ἑτέρῳ ὑποδείγματι, πρὸς ἐπίγνωσιν τοῦ τῆς συναφῆς καὶ ἀπορροίας λόγου. Φέρε εἰπεῖν: ☾. ἐστι ♎ μοι. ιγ. ὁ δὲ τοῦ ♂ ἐκεῖσε μοι. ς. τοῦ ♃ ὄντος ἐπὶ τοῦ αὐτοῦ ζωδίου μοι. κ. ἀπέρρευσεν ἡ ☾ τοῦ ♂, καὶ συνῆψε τῷ τοῦ ♃, ἔσω τοῦ τῆς ἑπταμοιρίας λόγου.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

De defluxu & applicatione, quam Luna facit ad ſidera errantia.

Cùm non una ſit ratio applicationis & defluxus, certa de his doctrina afferenda eſt. Sic autem res habet: cum qua ſtella contigerit Lunam in eodem ſigno eſſe, ita ut plures partes teneat, ab ea fecit defluxum: ſicut quæ ſtella cū Luna in eodem ſigno conſtituta, plures quàm illa partes poſſederit, ea applicantem ſibi Lunam excipit. Eodem modo ſtellæ, cùm in ſequente vel antecedente Lunam ſigno repertæ fuerint, intra 30 partes ab ea diſtantes, terminum applicationis & defluxus obtinent. Exempli gratia: Luna tenente Sagittarij partē 20, Marte 20 Scorpij, & Venere 20 Capricorni: dicimus, defluxum Lunæ factum eſſe à Marte: applicationem verò fieri ad Veneris ſtellam. Similiter de defluxu & applicatione, quæ inter ſtellas & Lunam, in eodem ſigno conſtitutas accidunt, eſt agendum. Verbi cauſa: Luna eſt in Tauri parte 10, Mercurius parte 9, Iupiter parte 11. Dicimus, Lunam defluxiſſe à Mercurio, & applicare ſe ad ſtellam Iouis. Semper autem defluxus & applicationis ratio, à prima † parte in tertiam ſupputando extenſa, maximam vim habet, ad ſpeciem futurorum euentuum denotandam. Secundas tenet, quæ à prima parte numerando perſ cenſetur uſq; ad ſeptimam, ſecundum priorem partium diſtributionem. Tertia in ordine efficacitatis eſt, quæ à prima parte uſq; ad decimam quintam numeratur. Quarta defluxus & applicationis ratio conficitur, ſumtò intervallo ab uno, uſq; ad triginta. Vtemur & alio exemplo, ad cognoſcendam rationem applicationis & defluxus. Verbi cauſa: Luna eſt in libræ parte 13, Martis ſtella ibidem in parte 6, Ioue in eiuſdem ſigni parte 20 hærente. Defluxit Luna à Marte, & applicauit ſe ad ſtellam Iouis, intra numerationem diſtantiæ 7 partium.*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Τοῦ τοῦ ⊕ ἀπορροίας καὶ συναφῆς εἴδους, κατὰ σχῆμα καὶ κατὰ ἄνεμον πραγματευομένου: ποτὲ μὲν κατὰ τρίγωνον, ποτὲ δὲ κατὰ ἑξάγωνον, ποτὲ δὲ κατὰ τετράγωνον καὶ ☍, πρὸς τοὺς ἀστέρας λαμβανομένου. σχηματίζει δὲ ἡ κατὰ τρίγωνον πλευρὰν συναφὴ, εἴσω μοι. ρκ, ἢ καὶ ριζ. ἡ δὲ κατὰ ἑξάγωνον, εἴσω μοι. ξ, ἢ καὶ νζ. ἡ δὲ κατὰ τετράγωνον, εἴσω μοι. ϟ, ἢ καὶ πζ. ἡ δὲ κατὰ ☍, εἴσω μοι. ρπ, ἢ καὶ ροζ: εἴτε κατὰ δεξιὸν, ἢ κατὰ εὐώνυμον σχῆμα τῶν ἀστέρων πρὸς τὴν ☾ ὑπαρχόντων. ὑποδείγματος χάριν: ὡς ἐπὶ τοῦ τριγώνου πλευρᾶς, δεδόσθω, τὴν ☾ μοι. εἶναι ιε ♈. τὸν δὲ ♃ ♐ μοι. ιη, ἢ καὶ ιε. λέγομεν, τὴν συναφὴν τῆς ☾, κατὰ δεξιὸν τρίγωνον πρὸς τὸν τοῦ ♃ γεγονέναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν πλευρῶν, τῆς ☾ πρὸς τοὺς ἀστέρας μοιρικῶς συσχηματιζομένης νοητέον. ἡ δὲ κατὰ τὴν τοῦ ἀνέμου φορὰν [illegible] γινομένη, πρὸς τοὺς ἀστέρας τῆς ☾ εἴτε ἀπόρροια εἴτε συναφὴ, ἰδίαν ἔχει τὴν πραγματείαν: τῆς ☾ ὅτε μὲν τὸν αὐτὸν ἄνεμον ἐνερχομένης, καὶ συγκατερχομένης, τῇ τῶν περιπολούντων ἀστέρων πορείᾳ: ὅτε δὲ ἕτερον. ☞ Δίχα δὲ τοῦ περὶ ἀπορροίας καὶ συναφῆς λόγου, οὐ πολυχρονιότης, οὐκ ὀλιγοχρονιότης, οὐ πάθος, οὐ σίνος, οὐ πλοῦτος, οὐ δυστυχία, οὐ δόξα, οὐκ ἀδοξία, οὐκ ἀνδρεία, οὐκ ἀσθένεια, περὶ γενέσεως καθέστηκεν.

† Εὐθέως γὰρ ἄγει τὰ ἀποτελέσματα, ἐπὶ τῆς τριμοιρίας: εἴτε ἀγαθὸν, εἴτε φαῦλον. ἡ δὲ γένεσις ἐστὶν ἐν τῇ παιδικῇ ἡλικίᾳ, καὶ ἐὰν ἀγαθὸς ᾖ, ᾧ συνάπτει, ἀγαθά: ἐὰν δὲ φαῦλος, φαῦλα.

* Εἴτε ἀπόρροια εἴτε συναφὴ ὀψὲ τῷ χρόνῳ, οὐκ ἀπὸ νεότητος, τὴν ἐνέργειαν ἴσχει: λέγω δὲ, τῆς μέσης ἡλικίας, ἢ καὶ περὶ τὸ γῆρας, τὴν τῶν ἑπομένων εἴτε ἀγαθῶν εἴτε φαύλων ποιοῦσα τελευτήν.

⊕ Εἰδήσεις φησὶν, ἐκ τούτου, καὶ ὁποῖος πνεύσεται ἄνεμος, καὶ εἰ ταραχώδης ἢ εὔδιος. γνώσῃ δέ φησι, ἀπὸ τοῦ κατὰ τρίγωνον συναφῆς ἢ ἀπορροίας. οὐ μόνον γὰρ κατὰ σῶμα λέγεται συναφὴ καὶ ἀπόρροια

Conſideratio ſpecierum defluxus & ⊕ applicationis, ſecundum figuram inſtituitur, & ſecundum ventum. Et nunc è trigono, nunc è ſextili, nunc è quadrato & oppoſito ad ſtellas, ſumitur. Locum autem habet ſecundùm triangulare latus applicatio, intra partes 120, aut etiam 117. Secundùm ſextile, intra partes 60, vel 57. Secundùm quadratum, intra partes 90, aut 87. Secundùm oppoſitum, intra partes 180, aut etiam 177: ſiue ſtellæ à dextra, ſiue à ſiniſtra lunam aſpiciant. Exempli cauſa: Secundùm latus triangulare, Luna ſit in parte Arietis 15, Iupiter in parte Sagittarij 18, aut etiam 15. Dicimus, applicationem Lunæ, ſecundùm dextrum triangulum, ad Iouem factam eſſe. Similiter & de cæteris aſpectibus, Luna ad ſtellas eodem numero partium configurata, cogitandum eſt. Qui verò ſecundùm motum ☘ ventorum, fit ad ſtellas Lunæ defluxus vel applicatio, peculiarem tractationem habet: Luna interdum in eundem ventum ingrediente, & cum eodem deſcendente, ſecundùm iter planetarum: interdum in alium. Sine ☞ verò defluxus & applicationis conſideratione, non diuturnitas, non breuitas vitæ, non morbus, non vitium, non diuitiæ, non calamitas, non gloria, non ignominia, non fortitudo, non imbecillitas, in genitura colligi aut inueſtigari poteſt.

† *Confeſtim enim adducit euentus, ex trium partium diſtantia, ſiue bonum ſit, quod ſignificatur, ſiue malum. Initium verò eſt in puerili ætate: & cùm benefica fuerit ſtella, cui Luna ſe applicauerit, bona: ſin malefica, mala ſignificantur.*

* *Tam defluxus quàm applicatio ſerò, non mox à iuuentute efficacitatem habent: Sed in ætate media, aut etiam circa ſenectutem, euentuū ſiue bonorum ſiue malorū tempora adducunt.*

⊕ *Scies, inquit, ex hoc etiam, cuiuſmodi ventus ſpiraturus ſit, & utrum turbulentus vel ſerenus. Cognoſces verò, inquit, ex ratione applicationis vel defluxus ſecundùm triangulum. Non ſolùm enim ſecundùm corpus dicitur applicatio & deflu-*

ῥοια, ἀλλὰ καὶ κατὰ σχῆμα: ὅταν οὖν πρός τινα ἀστέρα κατὰ τὸ α τρίγωνον ♈ ♌ καὶ ♐, συναφὴν ἢ ἀπόῤῥοιαν ποιῆται, ἀπηλιώτης πνεύσει. πότερον δὲ ἀγαθὸς ἢ κακὸς ὁ ἄνεμος, ἀπὸ τοῦ ἀστέρος πρὸς ὃν φέρεται, διαγνωστέον. κατὰ δὲ τὸ β, τὸ διὰ ♉ ♍ καὶ ♑, νότος. κατὰ δὲ τὸ γ', τὸ διὰ ♊ ♎ καὶ ♒, λίψ. κατὰ δὲ τὸ δ, τὸ διὰ ♋ ♏ καὶ ♓, βοῤῥᾶς. ἐν ἄλλῃ δὲ φησι θεωρίᾳ, τὰ περὶ ἀνέμων ἀκριβέστερον λελέξεται.

☙ Οἷον, εἰ καὶ ὁ ἀστὴρ καὶ ἡ ☾ πρὸς βοῤῥᾶν ἢ νότον ᾖ. εἰ δὲ ἡ μὲν πρὸς νότον, ὁ δὲ πρὸς βοῤῥᾶν, καὶ τὸ σχῆμα συμβήσεται: ἐξαλλάσσεται δὲ τὰ ἀποτελέσματα, εἴτε κατὰ συμπαρουσίαν, εἴτε κατὰ σχῆμα. μὴ πρὸς τὸν αὐτὸν ἄνεμον εἰσὶ, κατὰ κάθετον τοῦ ἀστέρος συμπαρόντος αὐτῇ:

☞ Ἐπὶ παντὸς γὰρ πράγματος, καὶ ἐπὶ πάσης γενέσεως, καὶ ἐπὶ καταρχῶν: ἀδύνατον φησὶ, τί προειπεῖν, χωρὶς ἀποῤῥοίας καὶ συναφῆς σεληνιακῆς.

Περὶ τοῦ γνῶναι, πόσαι τῶν * θεῶν.

† Τὸ τέταρτον τῶν ἀπὸ Διοκλητιανοῦ χρόνων, οὗ ζητεῖς ἐνιαυτοῦ, προσθεὶς μετὰ καὶ β καθολικῶν, καὶ τὸν γινόμενον ἀριθμὸν μέρισον παρὰ τὸν ζ, καὶ τὰς καταλειπομένας, ταύτας εἶναι τῶν θεῶν λέγε. ὑποδείγματος χάριν: ζητῶ τοῦ υδ ἔτους Διοκλητιανοῦ, πόσαι τῶν θεῶν γίνονται. ποιήσας τὸ δ αὐτῶν, εὗρον κγ. ταύταις προστίθημι καθολικὰς β, μετὰ τῶν υδ ⊕ γίνεται ριθ. μερίσας παρὰ τὸν ζ, ἑπτάκις ις, ριβ. λοιπαὶ ζ, ταύτας εἶναι τῶν θεῶν λέγω.

* Τουτέστιν, ἑκάστῃ ἡμέρᾳ τῆς ἑβδομάδος, τίνος τῶν ἀστέρων ἐστίν.

† Τὸ τέταρτον λαμβάνεται, ἢ καὶ ἰσάριθμοι αὐτοῦ ἡμέραι, διὰ τὸ βίσεκτον.

⊛ Ὅτι

xus, ſed etiam ſecundum figuram vel aſpectum. Si igitur Luna ad aliquam ſtellam, in primo triangulo, ♈ ♌ ♐, applicationem vel defluxum faciet, Subſolanus ſpirabit: vtrum verò ſalutaris, vel noxius futurus ſit ventus, è ſtella, ad quam fertur Luna, colligere licet. In ſecundo triangulo, quod per ♉ ♍ ♑ ducitur, Auſter ſpirabit. In tertio, quod eſt per ♊ ♎ ♒, Africus. In quarto, quod eſt per ♋ ♏ & ♓, Boreas. In alia verò commentatione, inquit, de ventis accuratius dictum eſt.

☋ Veluti ſi & ſtella & Luna verſus Boream vel Auſtrum fuerit. Aut ſi hæc verſus Auſtrum, illa verſus Boream, & configuratio acceſſerit: permutabit etiam ſignificata, vel ſecundùm corporis præſentiam, vel ſecundùm aſpectum. Non ad eundem ventum ſunt, quando ſecundùm * perpendiculum * ſtella ipſi iungitur.

* * De coniunctis latitudine pari, ex oppoſitis mundi plagis, accipiendum videtur.

☞ Quodcunque enim ſit negotium, & quæcunque genitura, aliáue rerum initia: impoßibile (inquit) eſt, aliquid prædicere, ſine defluxu & applicatione Lunari.

Quomodo ſciri debeat, quot ſint Deorum * dies.

† Quartam partē temporum, à Diocletiano, eius anni quem quæris, adde cum duabus diebus univerſalibus, & collectum numerum diuide per 7. quæ relinquuntur, dic eſſe Deorum dies. Exempli cauſa: Quæro 94, anno Diocletiani, quot ſint Deorum dies? Sumens horum quartam partem, inueni 23. His adijcio uniuerſales 2, collectaque hac ſumma cum 94, fiunt ⊗ 119. Diuido per 7. ſepties 16, ſunt 112. Relinquuntur 7, quas eſſe Deorum dies dico.

* Hoc eſt, qualibet ſeptimanæ dies, cuius ſit planetæ.

† Quarta pars ſumitur, aut etiam æquales ipſi numero dies, propter biſſextilem.

⊗ Quia

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

⊕ Ὅτι αἰγυπτιακὰ ἔτη λέγει· καὶ διὰ τοῦτο κελεύει τὸ τέταρτον προστίθεσθαι. οἱ γὰρ ἕλληνες καὶ οἱ ἀλεξανδρεῖς, καὶ τὸ τέταρτον ἐπιλογίζονται, κατ᾽ ἑκάστην τετραετηρίδα. καὶ διὰ τοῦτο ἐπὶ τῶν ἑλληνικῶν ἐτῶν τὸ δ. οὐ προστίθεται, διότι ἤδη προσετέθη.

Περὶ τοῦ γνῶναι, ἑκάστην ἡμέραν, τίνος τῶν θεῶν ἐστίν.

Τοὺς ἀπὸ θὼθ μῆνας, ἕως τοῦ ζητεῖς μηνὸς, διπλασιάσας, προσθὲς τῷ ἀπὸ τῆς διπλώσεως γινομένων ἀριθμῷ, τὰς εὑρεθείσας τῶν † θεῶν, κατ᾽ ἐκεῖνον τὸν χρόνον· καὶ τῷ συναχθέντι ἀριθμῷ ἐπιπρόσθες τὴν τοῦ μηνὸς ποσὴν, καὶ τὸν γινόμενον ἀριθμὸν μερίσας παρὰ τὸν ζ, τὰς καταλειφθείσας διέκβαλε ἀπὸ ἡμέρας ☉, τῇ τῆς ἑβδομάδος τάξει, διδοὺς ἑκάστῳ τῶν ἀστέρων ἡμέραν α, καὶ εὑρήσεις τίνος ἀστέρος ἐστὶν, ἣν ζητεῖς ἡμέραν. ὑποδείγματος χάριν· ζητοῦμεν, τίνος ἡμέρα ἐστὶν ἐπὶ τῆς σήμερον ἡμέρας, ἥτις ἐστὶν κ μεχὶρ, ἔτους ἀπὸ Διοκλητιανοῦ, γδ. ἐπεὶ οὖν ἀπὸ τοῦ θὼθ, ἕως τοῦ μεχὶρ, γίνονται μῆνες ϛ· τούτους ἐπιδιπλοῦμεν, καὶ γίνονται ιβ. εἰσὶ δὲ τῶν θεῶν κατὰ τόνδε τὸν ἐνιαυτὸν, ζ. ταύτας προστιθέαμεν τῷ ἐπιδιπλωθέντι τῶν μηνῶν ἀριθμῷ, καὶ γίνονται ιθ. ταύταις ταῖς ιθ, ἐπιπροστιθέαμεν τὴν ζητουμένην εἰκάδα τοῦ μηνὸς· γίνονται ἡμέραι λθ. ταύτας μερίζομεν παρὰ τὸν ζ, πεντάκις ζ, λε. λοιπαὶ, δ. ἀπολύομεν τὰς δ, ἀπὸ ἡμέρας ☉, καὶ μετροῦμεν, ἀκολουθήσαντες τῇ τῆς ἑβδομάδος τάξει, τὴν πρώτην ☉ λογιζόμενοι, καὶ τὴν β. ☾ διδόντες, τὴν γ. ♂ ἀπονέμοντες, τὴν δ. ☿. ἐστὶν ἄρα ἡ ἀναδοθεῖσα, κατὰ τὸν προκείμενον τρόπον, ἡμέρα ☿.

† Τὰς ἀπὸ τοῦ ὑφειλμοῦ τῶν ἡμερῶν καταλειφθήσας τοῦ δ. καὶ τῶν τοῦ μηνὸς κ, ἡμέρας. ἢ δὲ κη, κατὰ ἀλεξανδρεῖς, καθ᾽ ἡμᾶς ἐστὶν κϛ, προστιθεμένων τῶν γ, καὶ τοῦ ὀκτωβρίου καὶ τοῦ δεκεβρίου, καὶ τοῦ Ιαννουαρίου.

σχόλιον.

⊛ Quia Aegyptios annos intelligit, atq; ideo iubet quadrantem adÿcere. Nam Graci & Alexandrini quartam partem computando, ſtatim annumerant, quolibet annorum quaternario. Et propterea in annis Græcis, quadrans non additur, quia iam antea eſt adiectus.

Vt ſciatur, quælibet dies, cuius ſit planetarum.

Poſtquam menſes à Thoth vocato, vſq; ad eum, quem quæris menſem, duplicaueris, adÿce eorum, qui ex duplatione procreati ſunt, numero, repertas eo tempore Deorum † dies: & aggregato numero inſuper adde menſis diem quotam, factumq; numerum diuidens per 7, quæ reliquæ ſunt dies, numerare incipe à die Solis, ſecundùm ſeptimanæ ordinem, dans unicuiq; planetarum diem unam: & ſcies, cuius ſit ſtellæ dies illa, quam quæris. Exempli gratia: Quærimus, cuius planetæ dies ſit hodierna, quæ eſt 20 menſis Mechir, anno à Diocletiano 94. Quoniam igitur à Thoth uſq; ad Mechir, ſunt menſes 6: hos duplamus, fiunt 12. Sunt etiam Deorum dies hoc anno 7: has adÿcimus duplicato menſium numero, & fiunt 19. His 19 inſuper addimus viceſimam diem menſis, de qua quæritur, fiunt dies 39. Quas diuidimus per 7. quinquies 7, ſunt 35: reſiduæ ſunt dies 4. Incoamus has à die Solis, & numeramus, ſecuti ordinem dierum ſeptimanæ, tribuentes primam diem Soli, ſecundam Lunæ, tertiam Marti aſſignantes, quartam Mercurio. Eſt igitur attributa ſecundum hunc modum, dies Mercurio.

* * Vocabulũ ὑφελμοῦ, Si ita legẽdum eſt, ab ὑφελεῖν factum arbitror, quo ſcholiaſtes] de numerorum partitione, in ſcholio proximo vtitur.

† Poſt * diviſionem * dierum relictas, per 4: & menſis 20 dies. 28 verò apud Alexandrinos, apud nos eſt 26, adiectis tribus, Octobri, decembri, Ianuario.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Σχόλιον.

Ἰστέον, ὅτι ἡμέρας πέμπτης τῆς ἑβδομάδος ἡ ἀρχὴ τοῦ ἔτους Διοκλητιανοῦ γέγονεν, ὅπως μετὰ συμπλήρωσιν βισέκτου πάντως τὴν ἀρχὴν ἔσχηκε. καὶ ἐπεὶ πέμπτην εἶχεν ἀρχὴν, δεῖ δὲ τὰς ὑφαιρέσεις τῶν ἡμερῶν, τὰς καθ' ἑβδομάδα, λαμβάνειν ἀπὸ α τῆς ἑβδομάδος τὴν ἀρχήν: ἀνάγκη, προστίθεσθαι δ ἡμέρας, αἵτινες ἀπὸ τῆς α, μέχρι τῆς ε ἀριθμούμεναι τυγχάνουσι. καὶ ἐπὶ καθ' ἑβδομάδα ἀνακυκλεῖται ὁ χρόνος, καθὸ καὶ ἑβδομαδικοὺς τοὺς αἰῶνας φαμέν: καὶ γὰρ ἑβδομάδες νβ συμπίπτουσι τὸν ἐνιαυτὸν, μιᾶς ἡμέρας περιττευούσης: καὶ καθ' ἣν ἂν ἡμέραν ἄρξηται ὁ ἐνιαυτὸς τῆς ἑβδομάδος, κατὰ τὴν αὐτὴν δὴ λαμβάνει καὶ τὴν τελευτήν: ἀνάγκη, τῶν νβ ἑβδομάδων περαιωμένων, ταύτην τὴν περιττὴν μίαν ἡμέραν παρακαλέχειν. κἂν μὲν ὁ ἐνιαυτὸς ἀπὸ τῆς α ἡμέρας ἤρξατο τῆς ἑβδομάδος; ἡ περιττὴ αὕτη, καὶ αὕτη α τῆς ἑβδομάδος ἐστίν; ὡς τῶν νβ ἑβδομάδων, ἐὰν ἀπὸ κυριακῆς ἄρξηται ὁ ἐνιαυτὸς, συμπληρουμένων κατὰ τὸ σάββατον. τὸ δὲ ἐφεξῆς ἔτος ἄρξεται δευτέρας. ἐὰν δὲ β τὸ ἔτος ἄρξηται, δευτέρα δὲ ἡ περιττὴ ἔσται, τῶν ἑβδομάδων κατὰ τὴν α συντελεσθησῶν. καὶ ἐὰν γ, τρίτη: καὶ καθεξῆς. γέγονεν οὖν ἀρξάμενον καὶ τὸ ἀπὸ Διοκλητιανοῦ ἔτος, ἀπὸ ἡμέρας τῆς ἑβδομάδος ε. καὶ ἐπεὶ ἀπὸ τῆς α μέχρι τῆς ε, ἡμέραι δ εἰσὶ, δεῖ μετὰ τῆς περιττῆς τοῦ ἐνιαυτοῦ, καὶ ταύτας προσεπιλαμβάνεσθαι, ἃς οὗτος καθολικὰς ἐξωνόμασεν, ἵνα ἡ ἀρχὴ τῆς ἑβδομάδος λαμβάνεται. δύο δὲ μόνας οὗτος ἔλαβε, καὶ οὐ δ. διότι μετὰ ταῦτα τοὺς μηνιαίας διορίζεται διπλοῦν, ὁπόσοι ἂν ὦσιν ἀπὸ ἀρχῆς τοῦ ἔτους, τοὺς μετὰ τὸ συμπληρωθὲν τρέχοντας: καὶ οὐ μόνον τοὺς ἀπαρτισθέντας, ἀλλὰ καὶ αὐτὸν τὸν μήπω ἀπαρτισθέντα μηνιαῖα. καὶ ἐπεὶ οἱ μὲν ἄλλοι κατὰ λόγον δέχονται τὴν δίπλωσιν, οἱ συμπληρωθέντες, καὶ * ἑβδομάδας * μὲν ἀπαρτίζοντες ὅλας δ: δύο δὲ περιττὰς ἡμέρας ἔχοντες, ἃς καὶ δεῖ συμπαραλαμβάνεσθαι τῇ

* * Legi ἑβδομάδος.

ἀπὸ

SCHOLION.

Sciendum, quòd dies quinta ſeptimanæ, principium fuit anni Diocletiani, qui poſt completum biſextilem omninò fuit primus. Et quoniam quintam habuit principium, oportet verò deductiones dierum, ſecundum quas ſeptimana percenſetur, ſumere initium à prima ſeptimanæ die: neceſſe eſt, adijci 4 dies, quæ à prima uſq; ad quintam numerantur. Quia verò ſecundùm numerum ſeptenarium revoluitur tempus, quemadmodum & ſeptimana dicimus ſecula (nam ſeptimanæ 52 complent annum, una die redundante: & qua die ſeptimanæ annus inceperit, eadem quoq; terminabitur) neceſſe eſt, 52 ſeptimanas tranſmiſſas vel exactas illam redundantē unam diem ſimul continere. Cumq; annus à prima ſeptimanæ die inceperit: eadem eſt redundans, & eadem prima ſeptimanæ: ut 52 ſeptimanæ, quando à Dominica die inceperit annus, compleantur in Sabbato. Sequens verò annus incipiet à die ſecunda: cumq; à ſecunda inceperit, ſecunda etiam redundans erit, ſeptimanis in prima die finitis. Et quando à tertia, tertia etiam redundans erit, & ſic deinceps. Inijt igitur annus Diocletiani à die ſeptimanæ quinta. Et quoniam à prima uſq; ad quintam, ſunt dies quatuor: oportet cum redundante anni, etiam has aſſumi, quas ipſe uniuerſales nominauit, ut initium ſeptimanæ habeatur. Duas verò tantum uniuerſales ipſe accepit, & non quatuor: propterea quòd menſes iubet duplare, quotcunque ſanè fuerint, à principio anni, poſt completum currentes: neq; ſolùm expletos, ſed etiam nondum expletum menſem. Et quoniam alij ſecundùm rationem inſtituunt duplationem, qui ſeptimanæ dies quatuor omnes integrè ſumunt: duas autem ſuperfluas dies habent, quæ etiam ſimul accipiendæ ſunt,

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ἀπὸ τοῦ ἔτους περιττευούσῃ ἡμέρᾳ, τὸν δὲ μήπω συμπληρωθέντα διπλοῦν οὐκ ἔδει: ἵνα τοῖς ὁμοταγέσι καὶ αὐτὸς συνδιπλῶτο, κατεμέρισε τὰς καθολικὰς δ, ἃς εἴπομεν ἀπαρχῆς τῆς ἑβδομάδος λαμβάνεσθαι, καὶ τὰς μὲν β, καθολικὰς ὠνόμασε, τὰς δὲ λοιπὰς β τῷ ἀπελεῖ μηνὶ ἐτηρήσεν, ἵνα καὶ αὐτὸς τῷ λόγῳ τῶν ἄλλων τῶν συμπληρωμένων, δέχηται τὴν δίπλωσιν. καί τοι μὴ τούτου τῶν ἡμερῶν οὐσῶν, ἀλλὰ καθολικῶν: διὰ τὸ ἔτος τὸ α ἀπὸ ε ἄρξασθαι, καὶ οὐκ ἀπὸ γ. εἰ γὰρ ἀπὸ γ, δύο ἂν καθολικὰς ἐλάμβανε, καὶ ὁ τοιοῦτος μὴν οὐκ ἂν ἐνδέχετο δίπλωσιν. καὶ ὅτι ταῦθ᾽ οὕτως ἔχει, δηλώσει δὲ ἡ εὕρεσις τῆς νῦν ἡμέρας, κατὰ τοιαύτην μέθοδον συμπεξανθεῖσα. τοῦ γὰρ ςχνθ ἔτους, ὄντος ἀπὸ Διοκλητιανοῦ ωξζ, τὸ δ᾽ αὐτῶν εὑρίσκεται σις, καὶ γίνονται αἱ πᾶσαι ἡμέραι, μετὰ τῶν ωξζ. προστεθεισῶν, καὶ τῶν β καθολικῶν, αωπε. ταύτας ὑφαιρῶ ἐπὶ τὸν ζ. λοιπαὶ ἡμέραι τῶν ἀστέρων ζ. καὶ ἐπεὶ ὁ κατὰ τὸ εἰρημένον ἔτος μὴν νοέμβριος ἐστὶ, καὶ ἡμέρα αὐτοῦ ις, καὶ τρεῖς μῆνες σὺν τούτῳ εἰσὶν ἀπὸ σεπτεμβρίου, καὶ διπλωθέντες οὗτοι, ποιοῦσιν ἡμέρας ϛ: ληφθείσης δὲ καὶ τῆς τοῦ ὀκτωβρίου ἐπέκεινα τῶν λ μιᾶς, διότι λα. ἡμέρας ὁ τοιοῦτος ἔχει μήν: καὶ εἰσὶ καὶ αἱ παρ᾽ ἡμῖν ις τοῦ μηνὸς, παρὰ ἀλεξανδρεῦσι ιθ: συνάγονται αἱ πᾶσαι, λγ, ἃς καὶ ὑφελὼν ἐπὶ τὸν ζ, ἔχω λοιπὰς ἡμέρας ε: καὶ ἔστιν ἡμέρα σήμερον τῆς ἑβδομάδος ε. δύο οὖν ἐνταῦθα καθολικὰς ἐλάβομεν, καὶ οὐχὶ δ: διότι τὸν νοέμβριον, κατὰ τὸ πλεῖον ἐδιπλώσαμεν. ἀπὸ κυριακῆς γὰρ, ὅθεν ἡ ἀπαρίθμησις τῶν ἡμερῶν γίνεται, μέχρι ε, ἡμέραι δ, τῶν γὰρ καθολικῶν εἰσὶ καὶ αἱ κατ᾽ αὐτὸν β. καὶ εἰ τὸ α δὲ τὸ ἀπὸ Διοκλητιανοῦ δοκιμάσεις ἔτος, ὡς ἐπὶ τὸ ἐφεξῆς εὑρήσεις τὴν μέθοδον ἀληθεύουσαν. τοῦ γὰρ πρώτου ἔτους τὴν μίαν ἡμέραν * ἐλάβες *, τὴν ἀπὸ τῶν νβ ἑβδομάδων περιττεύουσαν. εἰ μὲν οὖν α τῆς ἑβδομάδος, ἡ ἀρχὴ τοῦ παρελθόντος α ἔτους, καὶ * αὐτὴ α ἂν ἦν: εἰ δὲ * τοῦ ἐφεξῆς, δευτέρα ἔμελλεν εἶναι. ἀλλὰ κατὰ τὴν παροῦσαν μέθοδον, εἰ προσεθήκαμεν τὴν δίπλωσιν τοῦ α

μηνός.

* Lego, ἔλαβες.

** Legi, αὐτὴ α τελευτὴ ἂν ἦν: ἡ δὲ

cum redundante die in anno: nondum verò completum menſem duplare non oportebat: ut cum ijs, qui in eodem ſunt ordine, & ipſe ſimul dupletur, diviſit univerſales quatuor, quas diximus à principio ſeptimanæ numerari: & duas quidem univerſales nominavit, reliquas verò duas imperfecto menſi reſervavit, ut & ipſe, ſicut cæteri completi, accipiat duplationem: non quidem, quòd huius menſis ſint dies illi, ſed quòd univerſales, quia primus annus à quinta die incepit, non à tertia. Si enim à tertia; duas univerſales ſumſiſſet, & non contigiſſet illi menſi duplatio. Quòd hæc ita ſe habeant, oſtendit inveſtigatio præſentis diei, ſecundum hanc methodum abſoluta. Nam 6659 anno, qui eſt à Diocletiano 867, invenitur quarta horum pars, 216: quibus connumeratis cum 867, & additis præterea duabus univerſalibus, producuntur in ſumma dies 1085. Divido per ſeptem, relinquuntur 7 dies Planetarum. Et quoniam eius anni menſis eſt November, ac dies eius decima ſexta: atq; hoc annumerato, tres menſes ſunt à Septembri, qui duplati, faciunt dies ſex: ſumta una etiam die ex Octobri, quæ ultra 30. ſupereſt (quia 31 dies hic menſis habet) & quæ apud nos ſunt dies menſis 16, apud Alexandrinos ſunt 19: Conſiunt in una ſumma dies 33, quas ſimiliter dividens per 7, reliquas habeo dies 5: eſtq; dies hodie ſeptimanæ quinta. Duas igitur hîc univerſales accepimus, & non quatuor; propterea, quòd Novembrem ultrà quàm fieri debebat, duplavimus. Nam à Dominica, unde numeratio dierum fit, uſque ad quintam, ſunt dies quatuor: & duæ illæ, quas ipſe numerat, ad univerſales pertinent. Si verò primum à Diocletiano annum exploraveris, in anno ſequente veram hanc computandi viam invenies. Nam primi anni unam diem ſumſiſti, quæ ultra 52 ſeptimanas ſupereſt. Si igitur prima ſeptimanæ, principium eſt vertentis primi anni: ipſa etiam finis erit: & ſequentis anni principium, erit dies ſeptimanæ ſecunda. Sed ſecundùm hanc methodum, ſi duplavimus primum

μηνὸς, καίτοι μήπω συμπληρωθέντος, καὶ τὴν ποσαίαν αὐτοῦ ἀγοῦσαν: τετάρτη ἂν τῆς ἑβδομάδος ἡ τοῦ ἐφεξῆς καταρχὴ ἐγένετο, ὅπερ οὐκ ἔστιν ἀληθές. εἰ γὰρ τὸ α εἰς κυριακὴν συντελεῖται, ἀπὸ ταύτης ἀρξάμενον: τὸ λοιπὸν β ἄρχεται. ὥστε μάτην αἱ τοῦ εἰρημένου μηνὸς διπλαῖ ἐλήφθησαν, ὅτι οὐκ εἰσὶ τοῦ μηνὸς αἱ β αὗται, οὐδὲ λογίζονται: ἀλλὰ τῆς ἀρχῆς τοῦ ἔτους, τῶν καὶ καθολικῶν, ὧν τὰς δύο μόνας οὗτος ἔλαβε: τὰς δὲ β παρέπεμψεν εἰς τὴν τῶν μηνῶν ἐπιδίπλωσιν τῶν ἀτελῶν. λαμβάνονται δὲ αἱ καθολικαὶ δ, διὰ τὸ τῶν ἀφέσεων εὐχερές, ἵνα ἀπὸ τῆς α τῆς ἑβδομάδος αἱ ἡμέραι ἐξάγονται. ὥσπερ καὶ ἐπὶ τῶν ἀπογείων τῶν ἀστέρων καὶ τοῦ ☉, ποιεῖν ἡμᾶς ὁ Πτολεμαῖος ἐδίδαξεν.

Περὶ τοῦ πολεύοντος καὶ διέποντος.

Τὸν δὲ πολεύοντα καὶ διέποντα ἐφ᾽ ἑκάστης γενέσεως, καὶ ἐπὶ πάσης ἡμέρας, σκοπεῖν δεήσει, διὰ τῆς τῶν ἀστέρων σφαιρικῆς θέσεως, ἀκολούθως τῷ τῆς ἑπταζώνου στοιχειωτικῷ λόγῳ. διὰ γὰρ τῆσδε τῆς πραγματείας τὰς γινομένας ἀθρόως συντυχίας, εἴτε ἐπὶ συνθηκῶν, εἴτε ὑποσχέσεως, εἴτε χάριτος, εἴτε δωρεᾶς, εἴτε ἐπιτυχίας, εἴτε συστάσεως πρὸς ἄρχοντας ἢ ὑπερέχοντα πρόσωπα πρός τε δίκας ἢ συκοφαντίας, καὶ δεσμοὺς, καὶ συνοχὰς, ἐγκλήματά τε καὶ διαβολὰς, καὶ συμπλοκὰς, καὶ ἀπωλείας, καὶ κλοπὰς, καὶ τὰς γινομένας διαθήκας, ἐπί τε πλοῦ καὶ ὁδοιπορίας, μάχης τε καὶ θορύβων, ἢ κατακλίσεων, καὶ τῶν τούτοις παραπλησίων, ἐπιγνωσόμεθα. συμβάλλεται δὲ καὶ ἰατροῖς, πρὸς ἐπίσκεψιν καὶ δίαιταν τῶν νοσημάτων, καὶ ἐν ταῖς τῶν χειρουργιῶν ἢ θεραπειῶν ἐπιβολαῖς, πρὸς τὸ ἀδιαπτώτως ἐν τοῖς προειρημένοις τὴν καταρχὴν ποιεῖσθαι. ἔτι δὲ ἡ τάξις τῆς ἑπταζώνου ἔχουσα οὕτως: ὁ μὲν τοῦ ♄ ἀστὴρ, ἐκληρώσατο τὴν α καὶ ἀνωτάτω ζώνην, κατάψυχρον οὖσαν,

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

menſem, etiam nondum completum, & adijcimus diem datam in hoc exemplo unam, quarta ſeptimanæ, ſequentis anni principium ſit: quod à veritate recedit. Si enim primus annus in Dominicam diem deſinit, initium ab hac ſortitus: proximum, dies ☽ incoabit. Quapropter fruſtrà eius menſis duplæ dies ſumptæ ſunt, quia non ſunt menſis hæ duæ, neq; eius eſſe putantur: ſed principij anni, & uniuerſalium, quarum duas ſolas ipſe accepit, duas verò tranſmiſit ad duplicationem menſium imperfectorum. Sumuntur autem uniuerſales quatuor, propter commoditatem numerationum, ut à prima ſeptimana, dies percenſeantur: quemadmodum & in apogeis ſiderum & Solis, facere nos Ptolemæus docuit.

De Planeta, qui toti diei dominatur, & de eo, qui ſingulis eius horis.

Planeta qui præeſt toti diei, & qui horis ſingulis, in qualibet genitura & die quolibet, inveſtigabitur ſecundùm ſphærarum cæleſtium ſitum, quemadmodum ſeptem illi orbes ſe ordine conſequuntur. Nam hac opera cognoſcemus eventus, qui frequenter accidunt: in fœderibus, vel promiſſis, vel gratia, vel donatione, vel adeptione rei cupitæ, vel ſtatu apud principes aut excellentes alios homines. Significat & de iudicijs aut delationibus, & vinculis, & preſſibus, accuſationibusq; & calumnijs, & concertationibus, perditionibus, furtis, factiſq; teſtamentis: Et de navigatione, & itinere, pugnaq; & tumultibus, aut ſtragibus, & quæ his ſunt ſimilia. Conducit etiam Medicis ad conſiderationẽ morborum, et ad victus rationẽ in his cõſtituendã, atq; in adminiſtrationibus, quæ manu aut medicamentis fiunt, ut in his omnibus ſine errore fauſtum initium ſumatur. Cæterùm ordo ſeptem Zonarum vel orbium hic eſt: ſtella Saturni accepit primam & ſummã Zonam, frigidã,

atq;

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

οὖσαν, καὶ κειμένην ἐν τῷ πάγῳ. ὁ δὲ τοῦ ♃, τὴν δευτέραν, καὶ
εὔκρατον, θρεπτικὴν καὶ ζωογόνον ὑπάρχουσαν. τοῦ ♂ τὴν γ, καὶ
διάπυρον ζώνην, φθαρτικὴν τετευχυῖαν, κληρωσαμένου. ὁ δὲ ☉
τὴν δ καὶ μέσην ζώνην τοῦ αἰθέρος εἴληχε, διάπυρον καὶ ζωο-
γόνον οὖσαν. ἡ ♀ τὴν ε καὶ εὔδιον ζώνην κληρωσαμένη, σπορᾶς
καὶ γονῆς αἰτία καθέστηκε. τὴν δὲ ἕκτην καὶ ἐπίκοινον ζώνην,
ὑγρὰν οὖσαν, ὁ τοῦ ☿ ἀστὴρ ἐκληρώσατο. τὴν δὲ ζ, ὡσαύτως ὑγρὰν
οὖσαν, καὶ περιγειοτέραν ζώνην, ἡ κραταιοτάτη ☽ λαχοῦσα, καὶ
δεχομένη τὰς τῶν ἀστέρων ἀποῤῥοίας, ὑψηλοτέρας αὐτῶν ἐχόν-
των τὰς ζώνας ἐπιλαμβάνουσα, αὔξησιν καὶ μείωσιν τοῦ παντὸς
ποιεῖται, διὰ τῆς ἰδίας εἰκόνος τὸν τῶν ἀνθρώπων βίον ἐν ἀνω-
μαλίᾳ δεικνυμένη. ἡ δὲ μέθοδος τοῦ πολεύοντος καὶ διέποντος
ἀστέρος, εἴτε ἐφ' ἑκάστης ἡμέρας, εἴτε ἐπὶ γενέσεως, πραγμα-
τεύεται τρόπῳ τοιῷδε: δεδόσθω εἶναι ἡμέραν ♄. ὁ αὐτὸς ἀστὴρ
κύριος τῆς ἡμέρας γίνεται, καὶ πολεύει ὅλην τὴν ἡμέραν: τὴν
α ὥραν αὐτὸς πολεύων καὶ διέπων, τὴν β. παραδίδωσι τῷ ♃:
καὶ λέγομεν, τὴν β ὥραν ♄ πολεύοντος, καὶ ♃ διέποντος: τὴν
δὲ γ ♂, καὶ λέγομεν, ♄ πολεύοντος, ♂ διέποντος: τὴν ε ♀, ♄
πολεύοντος, ἀφροδίτης διεπούσης: τὴν ς ☿, ♄ πολεύοντος,
☿ διέποντος: τὴν δὲ ζ, ☽, ♄ πολεύοντος, ☽ διεπούσης: τὴν δὲ
η πάλιν αὐτὸς πολεύει καὶ διέπει. τὴν δὲ θ. κρόνος πολεύει, ♃
διέποντος. τὴν ι ♄ πολεύει, ♂ διέποντος: τὴν ια ♄ πολεύει,
☉ διέποντος: τὴν ιβ. ♄ πολεύει, ♀ διεπούσης. τὴν δὲ πρώτην
τὴν κατὰ τὴν νυκτερινὴν αἵρεσιν τῶν ὡρῶν, πάλιν αὐτὸς ♄ πολεύ-
ει, ἀκολούθως ☿ διέποντος: τὴν δὲ β. ♄ πολεύει, ☽ διεπούσης:
τὴν δὲ γ τῆς νυκτὸς, αὐτὸς πάλιν πολεύει καὶ διέπει: καὶ ἑξῆς, ἕως ἂν
* * Deerat hîc vox quædam. τῆς νυκτὸς πληρωθείσης, ἡμέρα τοῦ ☉ * * καὶ κύριος τῆς ἡμέ-
ρας ὁ ☉ χρηματίσας, πᾶσαν τὴν ἡμέραν πολεύων τύχῃ, καὶ ἑαυ-
τῷ τὴν πρώτην ὥραν ἀπομερίσας, πολεύων καὶ διέπων αὐτῆς
γένηται: ἑξῆς δὲ τὴν β ὥραν ♀ παραλαβοῦσα παρ' αὐτοῦ διέ-
πει, αὐτοῦ πολεύοντος: τὴν δὲ γ, ☿ διέπει, ☉ πολεύοντος: τὴν
δὲ δ,

atq; in glacie ſitam. Iovis, ſecundam & temperatam, cui vis eſt nutriendi & gignendi animalia. Stella Martis ſortiente tertiam igneam & Zonam, quæ corruptionis cauſſa eſt. Soli quarta & media Zona ætheris obtigit, fervida & fœcunda. Venus quintam & ſerenam tepidamq; Zonam ſortita, ſatus & generationis cauſſa eſt. Sextam & promiſcuam Zonam natura humidam, ſtella Mercurij adepta eſt. Septimam ſimiliter humidam, proximamq; terris, potentiſsima Luna occupavit, quæ defluxus ſiderum è ſuperioribus zonis excipiens, incrementum & decrementum rebus omnibus affert: propria ſua effigie, vitam hominum in magna fortunæ varietate poſitam eſſe oſtendens. Modus autem inveſtigandi Planetam diei & horis ſingulis præfectum, ſive die quocunq;, ſive in genitura, hic eſt. Ponamus, exempli cauſſa, diem eſſe Saturni. Idem dominus eſt diei, & poſsidet totum diem: primam horam ipſe poſsidens & gubernans, ſecundam tradit Iovi: & dicimus, ſecundam horam Saturno poſsidente, Iove gubernante: tertiam Marti, & dicimus, Saturno poſsidente, Marte gubernante: quintam Veneri, Saturno poſsidente, Venere gubernante: Sextam Mercurio, Saturno poſsidente, Mercurio gubernante: Septimam Lunæ, Saturno poſsidente, Luna gubernante: Octavam rurſum ipſe poſsidet & gubernat Saturnus: Nonam Saturnus poſsidet, Iove gubernante: Decimam Saturnus poſsidet, Marte gubernante. Vndecimam Saturnus poſsidet, Sole gubernante: Duodecimam Saturnus poſsidet, Venere gubernante. Primam verò in nocturna horarũ electione, rurſum ipſe Saturnus poſsidet, cõſequenter Mercurio gubernante: ſecundã Saturnus poſsidet, Luna gubernante: tertiã noctis ipſe rurſum poſsidet & gubernat, & ſic deinceps. Donec nocte expleta, dies Solis incipiat, dominusq; diei Sol factus, totam diem poſsideat, et ſibiipſi primã horã tribuens, eam poſsideat et gubernet: deinceps verò ſecundam horã Venus ab eo accipiens gubernat, ipſo poſsidente: tertiã Mercurius gubernat, Sole poſsidente: quartã

δὲ δ, ☾ διέπει, ☉ πολεύοντος: τὴν δὲ ε ♄ διέπει, ☉ πολεύοντος: τὴν δὲ ς ♃ διέπει, ☉ πολεύοντος: τὴν η πάλιν ☉ πολεύοντος ☽ διέποντος, καὶ ἑξῆς, ὡς ἔχει τὰ λοιπά.

Περὶ δωδεκατημορίου.

Τὸ γὰρ τῶν ἀστέρων δωδεκατημόριον, καὶ οἷου δήποτε εἴτε κέντρου, εἴτε κλήρου, πραγματευτέον οὕτως. οὗ ζητεῖς ἀστέρος ἢ κέντρου, ἢ κλήρου τὸ δωδεκατημόριον, ἃς ἔχει μοῖρας, πολλαπλασίασον ἐπὶ τὸν † ιγ, καὶ τὸν συναχθέντα ἀριθμὸν, διέκβαλε ἀπ' αὐτοῦ, λογιζόμενος ἑκάστῳ ζωδίῳ, μοι. λ: καὶ ὅπου ἂν καταλήξῃ * συμπεραιωθεὶς * ἀριθμὸς, ἐκεῖσε λέγε εἶναι τὸ δωδεκατημόριον, οὗ ζητεῖς ἀστέρος ἢ κέντρου ἢ κλήρου. ὑποδείγματος χάριν: φέρε εἰπεῖν, τὸν τοῦ ☿ εἶναι ♈ μοι ια. πολλαπλασίασον τὰς ια, ἐπὶ τὸν ιγ, καὶ γίνονται ρμγ. ταῦτα ἀπόλυσον ἀπὸ τοῦ ζωδίου, ἐν ᾧ ἐστιν ὁ ἀστὴρ, διδοὺς ἑκάστῳ ζωδίῳ μοι λ, καταλείπονται κγ. λέγομεν, εἶναι τὸ δωδεκατημόριον τοῦ ☿, ♉ μοι κγ. πολὺ γὰρ συμβάλλεται τὸ τῶν ἀγαθοποιῶν δωδεκατημόριον, ὅταν ἐν τῷ ζωδίῳ ἐμπέσῃ, ἐν ᾧ ἐστιν ὁ ☉, ἢ ἡ ☾, ἢ ὁ τοῦ ☿ ἀστὴρ, ἢ ἐφ' ἑνὸς τῶν δ κέντρων, ἢ ἐπὶ τοῦ κλήρου τῆς τύχης, ἢ τοῦ δαίμονος, ἢ καὶ τῆς ἀνάγκης, ἢ ἐπὶ τῆς προγεγενημένης εἴτε συνόδου, εἴτε πανσελήνου. διὰ γὰρ τῆσδε τῆς θεωρίας, τοὺς εὐτυχεῖς καὶ πολυχρονίους καὶ εὐδαίμονας ἄνδρας ἐπισημαίνεσθαι δεήσει. ὥσπερ καὶ ἐὰν τὸ τῶν κακοποιῶν, ἀστέρων δωδεκατημόριον ἐμπέσῃ ἐν τῷ ζωδίῳ, ἐν ᾧ ἐστιν ὁ ☉, ἢ ἡ ☾, ἢ ὁ τοῦ ☿ ἀστὴρ, ἢ ἐφ' ἑνὸς τῶν κέντρων, ἢ ἐπὶ τοῦ κλήρου τῆς τύχης, ἢ τοῦ δαίμονος, ἢ τῆς ἀνάγκης, ἢ ἐπὶ τῆς προγεγενημένης συνόδου, ἢ πανσελήνου: πένητας, καὶ δυσπεριλήπτους, καὶ κακοδαίμονας ἀποδείκνυσιν. ὅτε γὰρ καὶ ὀλιγοχρονίους, ἢ βιαιοθανάτους, ἢ ἐμπαθεῖς, ἢ ἐπισινεῖς καθίστησιν.

* Lego, * συμπερανθεὶς.

† Διὰ

Luna gubernat, Sole poſsidente: quintam Saturnus gubernat, Sole poſsidente: ſextam Iupiter gubernat, Sole poſsidente: octavam rurſum Sole poſsidente & gubernante, & ſic deinceps, ut ordo poſtulat.

De parte duodenaria.

Pars duodenaria ſtellarum, & cuiuſcunque ſive cardinis, ſiue ſortis, ſic operando invenienda eſt. Stellæ, cardinis aut ſortis, cuius partem duodenariam quæris, partes eas quas habet, multiplica per † 13, & collectum numerum percenſe ab eodem ſigno, tribuens cuilibet ſigno partes 30: & ubi numerus terminabitur, ibi dic eſſe duodenariam partem eius, cuius quæris ſtellæ vel cardinis vel ſortis. Exempli cauſſa: Sit Mercurius in Arietis parte 11, multiplica 11. per 13, & fiunt 143. Hæc percenſe à ſigno, in quo eſt ſtella, dans cuilibet ſigno partes 30: relinquuntur 23. Dicimus, partem Mercurij duodenariam, eſſe Leonis partem 23. Multùm autem conducit beneficorum pars duodenaria, cùm in ſignum inciderit, in quo eſt Sol, Luna aut Mercurius: aut in unum, ex quatuor cardinibus: aut in ſortem Fortunæ, aut Genij, aut Neceſsitatis: aut in præcedens novilunium vel plenilunium. Nam ex hac conſideratione ſignificationem fieri oportebit, de fortunatis, longævis & beatis viris. Sicut etiam, quando maleficarum ſtellarum duodenaria pars incidit in ſignum, in quo eſt Sol, aut Luna, aut ſtella Mercurij: aut in aliquem cardinum: aut in partem Fortunæ, aut Genij, aut Neceſsitatis: aut in præcedentem Solis & Lunæ coniunctionem vel oppoſitionem: pauperes & egenos & infelices ſignificat: interdum & qui brevis ſint vitæ, aut violenta morte intereant, auc ægrotationibus & læſionibus ſint obnoxij.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

* *
* Lego, ἔσω.

† Διὰ τοῦτο δὲ ἐπὶ τὸν ιγ. πολλαπλασιασμὸς, ἐπεί τοι εἰκότως, τὸ ιβ κατημόριον * * ἐστιν * καὶ ὁ πολλαπλασιασμὸς αὐτοῦ ἐπὶ τὸν ιβ, καὶ διαδοθῶσι τοῖς ιβ ζωδίοις ἀνὰ λ: οὐκ ἀφίξονται αἱ γινόμεναι τξ, εἰς τὸ αὐτὸ ζώδιον, ἀλλ' εἰς τὸ πρὸ αὐτοῦ καταντήσουσιν. οἷον, εἰ αἱ τοῦ ♈ λ, πολλαπλασιασθῶσιν ἐπὶ τὸν ιβ. καὶ ποιήσουσι τξ. καὶ δοθῶσιν ἑκάστῳ ζωδίῳ λ, καταλήξει ὁ ἀριθμὸς εἰς τὸ τέλος τῶν ♓, καὶ τοῦ ♈ οὐκ ἐφάψεται. τότε δὲ γίνεται ἐναργέστερον δωδεκατημόριον, ὅταν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ καταλήξῃ. καὶ ἵνα τοῦτο γίνηται, ἐπὶ τὸν ιγ γίνεται ὁ πολλαπλασιασμός. ιγ δὲ λ, τξ, καὶ πίπτουσιν πάλιν εἰς τὸν κριόν.

Περὶ τῶν ζ κλήρων, τῶν ἐν τῇ παναρέτῳ.

* Πρῶτος, ὁ τῆς τύχης κλῆρος, ὃν ἀριθμεῖν δεήσει, τῶν μὲν ἡμέρας γινομένων, ἀπὸ τῆς ἡλιακῆς μοι, ἕως τῆς σεληνιακῆς, καὶ τὸν συναχθέντα ἀριθμὸν διεκβάλλειν ἀπὸ τῆς ὡροσκόπου μοιρικῆς ἀριθμήσεως, διδόντας ἑκάστῳ ζωδίῳ μοι. λ: καὶ ὅπου ἂν καταντήσῃ ὁ συναχθεὶς ἀριθμὸς, ἐκεῖσε τὸν τῆς τύχης λέγε κλῆρον εἶναι. τῶν δὲ νυκτὸς, τὸ ἀνάπαλιν, τουτέστιν, ἀπὸ τῆς σεληνιακῆς, ἐπὶ τὴν ἡλιακὴν, τὰ δὲ λοιπὰ ὁμοίως ἀπὸ τῆς τοῦ ὡροσκόπου μοι. διέκβαλλε. Β κλῆρος, ὁ τοῦ δαίμονος, ὃν ἀριθμήσεις, ἀπὸ μοι ☾, ἐπὶ μοίραν ☉, καὶ τὸν συναγόμενον ἀριθμὸν διεκβάλλων ἀπὸ μοι ὡροσκόπου, ἐπὶ τὰ ὁμοίως, διδοὺς ἑκάστῳ ζωδίῳ μοι λ ὅπου ἂν καταλήξῃ ὁ ἀριθμὸς, ἐκεῖ ἔσται ὁ τοῦ δαίμονος κλῆρος: καὶ οὕτως μὲν ἐπὶ ἡμέρας. ἐπὶ δὲ νυκτὸς, τὸ ἀνάπαλιν. Γ κλῆρος ὁ τοῦ ἔρωτος, ὃν ἀριθμήσεις, τοῖς μὲν ἡμέρας γινομένοις, ἀπὸ κλήρου δαίμονος, ἐπὶ μοι ♀, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου: τοῖς δὲ νυκτὸς, τὸ ἀνάπαλιν. Δ κλῆρος, ὁ τῆς ἀνάγκης, ὃν καὶ αὐτὸν ψηφίσεις, τοῖς μὲν ἡμέρας γινομένοις, ἀπὸ μοι ☿ ἐπὶ κλῆρον τύχης, καὶ πάλιν ὁμοίως ἀπὸ

ὡροσκό-

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

† *Ideo verò multiplicatio fit per 13, quia meritò 12 ſignum*
* * *Fiat verò multiplicatio numeri partium per 12, & dentur 12 ſignis ſingulis partes 30: non pervenient collectæ 360 partes ad idem ſignum, ſed in præcedens occurrent. Veluti, ſi Arietis ſint partes 30, multiplicentur per 12, & fient 360: & dentur ſigno cuilibet 30: deſinet numerus in finem piſcium, & Arietem non attinget. Tunc autem evidentior fit duodenaria pars, quandò ab eodem ſigno in idem deſierit: & ut hoc fiat, per 13 fit multiplicatio. Tredecies enim 30, ſunt 390, & cadit numerus rurſum in Arietem.*

De ſeptem ſortibus, quæ ſunt in Panareto.

* *Prima eſt ſors Fortunæ, quæ numeranda erit, in ijs quæ interdiu fiunt, à parte Solari uſq; ad Lunarem, & aggregatus numerus percenſendus, à numero partium Aſcendentis, dando cuilibet ſigno partes 30: & quò numerus collectus pervenerit, ibi dic partem Fortunæ eſſe. In iis autem, quæ noctu fiunt, contraria ratione inſtituitur numeratio, hoc eſt, à Lunari uſq; ad Solarem partem: reliqua ſimiliter à parte Aſcendentis percenſeto. Secunda ſors eſt Genij, quam numerabis à parte Lunæ ad partem Solis, numerumq; productum percenſebis à parte Aſcendentis, poſtea ſimiliter dando cuilibet ſigno partes 30: ubi igitur deſierit ille numerus, ibi Genij ſors eſt: atq; ſic interdiu. Noctu verò econtrariè. Tertia ſors eſt Amoris, quam numerabis in iis, quæ interdiu facta ſunt, à ſorte Genii ad partem Veneris, & ſimiliter ab Aſcendente: noctu verò contrà. Quarta ſors eſt Neceßitatis, quã & ipſam ſupputabis in iis, quæ interdiu fiunt, à parte Mercurij ad partem Fortunæ, & ſimiliter ab*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ὡροσκόπου· τοῖς δὲ νυκτός, τὸ ἀνάπαλιν. Ε κλῆρος τόλμης, ὃν πραγματευτέον ἀπὸ μοι ♂, ἐπὶ κλῆρον τύχης, τοῖς ἐπὶ τῆς ἡμέρας γινομένοις, καὶ ὁμοίως ἀπὸ ὡροσκόπου· τοῖς δὲ νυκτός, τὸ ἀνάπαλιν. Ἕκτος κλῆρος, ὁ τῆς νίκης, ὃν ἀριθμήσεις, τοῖς μὲν ἡμέραις γινομένοις, ἀπὸ κλήρου δαίμονος, ἐπὶ μοίρας ♃, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· τοῖς δὲ νυκτός, τὸ ἀνάπαλιν. Ζ κλῆρος, ὁ τῆς νεμέσεως, ὃν ἀριθμήσεις ἐπὶ ἡμερινῶν γενέσεων, ἀπὸ ♄ ἐπὶ κλῆρον τύχης, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· ἐπὶ δὲ νυκτός, τὸ ἀνάπαλιν. εἰκότως δὲ οἱ κλῆροι, ταύτην ἔχουσι τὴν γένεσιν. ἐπεὶ καὶ τῇ φύσει ἡ μὲν ☾, τύχη καθέστηκεν· ὁ δὲ ☉, δαίμων· ἡ δὲ ♀, ἔρως· ὁ τοῦ ☿, ἀνάγκη· ὁ τοῦ ♂, τόλμα· ὁ τοῦ ♃, νίκη· ὁ τοῦ ♄, νέμεσις. ὁ δὲ ὡροσκόπος, τούτων ἀνὰ μέσον βραβεύει, βάσις καθεστὼς τοῦ παντὸς κόσμου. καὶ ἡ μὲν τύχη σημαίνει τὰ περὶ τοῦ σώματος πάντα, καὶ τὰς κατὰ βίον πράξεις· κτήσεώς τε καὶ δόξης, καὶ προεδρίας δηλωτικὴ καθέστηκεν. ὁ δὲ δαίμων, ψυχῆς καὶ τρόπου καὶ φρονήσεως καὶ δυναστείας πάσης κύριος τυγχάνει. ἔσθ᾽ ὅτε δὲ καὶ τὸν περὶ πράξεως λόγον συνεργεῖ. ὁ δὲ ἔρως, σημαίνει τὰς ὀρέξεις, καὶ τὰς ἐπιθυμίας τὰς κατὰ προαίρεσιν γινομένας, φιλίας τε καὶ χάριτος αἴτιος καθέστηκεν. ἡ δὲ ἀνάγκη, συνοχὰς καὶ ὑποταγὰς καὶ μάχας καὶ πολέμους, ἔχθρας τε καὶ μῖσος καὶ καταδίκας, καὶ τὰ ἄλλα πάντα, τὰ τοῖς ἀνθρώποις συμβαίνοντα βίαια πράγματα, ἐν γένει ποιεῖ. ἡ δὲ τόλμα, θράσους καὶ ἐπιβουλῆς καὶ ἰσχύος καὶ κακουργίας πάσης παραιτία καθέστηκεν. ἡ δὲ νίκη, πίστεως καὶ ἐλπίδος ἀγαθῆς, καὶ ἀγῶνος καὶ κοινωνίας πάσης· ἔτι δὲ καὶ ἐπιβολῆς καὶ ἐπιτυχίας, παραιτία καθέστηκεν. ἡ δὲ νέμεσις, δαίμων χθονίων καὶ τῶν κεκρυμμένων πάντων, ἀποδείξεώς τε καὶ ἀνδρείας, καὶ φυγῆς καὶ ἀπωλείας, καὶ πένθους καὶ ποιότητος θανάτου, παραιτία καθέστηκεν. ἡ δὲ βάσις, ὅ ἐστιν ὡροσκόπος, ζωῆς καὶ πνεύματος παραιτία καθέστηκεν· ἐπειδὴ ἅμα τῷ γεννᾶσθαι, πᾶν τὸ γινόμενον ἐκ τοῦ περιέχοντος ἀέρος ἀποσπᾷ τὸ ζωτικὸν πνεῦμα, ἐπὶ

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Aſcendente: noctu verò contrario modo. Quinta ſors Audaciæ, quæ invenitur, numerando à parte Martis ad partem Fortunæ, in ijs quæ interdiu fiunt, & ſimiliter ab Aſcendente: noctu contrà. Sexta ſors eſt victoriæ, quam numerabis interdiu à ſorte Genij, ad partem Iovis, & ſimiliter ab Aſcendente: noctu verò contraria ratione. Septima ſors Vltionis, quam numerabis in diurnis genituris à Saturno ad partem Fortunæ, & ſimiliter ab Aſcendente: noctu verò econtrariò. Rationi autem conſentanea eſt hæc ſortium origo; quoniam à natura ſic inſtitutum eſt, ut Luna ſignificationem habeat Fortunæ, Sol Genij, Venus Amoris, Mercurius Neceßitatis, Mars Audaciæ, Iupiter Victoriæ, Saturnus Vltionis. Sed horoſcopus medius inter hæc arbiter & moderator eſt, fundamentum conſtitutus cuiuslibet ſitus ſphæræ mundi. Ac Fortuna quidem denotat omnia, quæ ad corporis conſiderationem pertinent, actionesq́ in vita: præterea poſſeſsionis atq́ gloriæ, & ſedulitatis ſignificationem habet. Sed Genius, animæ & morum & ſapientiæ ac poteſtatis omnis, dominus eſt: Interdum & ad actiones vitæ aliquid confert. Amor ſignificat appetitiones & cupiditates, quæ inſtituto voluntatis fiunt, & amicitiæ ac gratiæ autor eſt. Neceſsitas, anxietates, & ſub iugum miſsiones, & pugnas, ac bella, inimicitiasq́ & odium, & damnationes, & alia omnia, quæ hominibus violenter accidunt, in genitura affert. Audacia, temeritatis & inſidiarum, & violentiæ ac maleficij omnis effectrix eſt. Victoria, cauſſa eſt fidei & ſpei bonæ, & contentionis atq́ ſtudij, & cõmunionis omnis: inſuper conatus quoq́ & adeptionis. Vltio, Dea terrenorum & abſconditorum omnium, demonſtrationis, & fortitudinis, & fugæ, & amiſsionis rerum, & luctus, & generis mortis, effectrix eſt. Fundamentum autem, quod eſt horoſcopus, vitæ & ſpiritus cauſſa exiſtit. Quàm primùm enim animal generatur, ex aëre ſpirabili attrahendo decerpit vitalẽ ſpiritum,

in hora

τῇ τῆς σταλαγμιαίας τῆς ὥρας ῥοπῇ, τῇ κατὰ τὴν ἀποκύησιν τεταγμένῃ, ἥτις ἐστὶ τῶν ὅλων δηλωτική.

* Οὕτως ὁ τρισμέγιστος ἑρμῆς ὀνομάζει τὴν ἰδίαν συγγραφὴν, ἐν ᾗ περὶ τῶν κλήρων εἶπεν, ὡς τάχα περὶ ἀναγκαίων καὶ ἀρχηγήσων διεξιοῦσαν. γέγραπται γὰρ τῷ ἑρμῇ περὶ τῶν τοιούτων κλήρων, ἐν βίβλῳ λεγομένῃ παναρέτῳ: ἔνθα καὶ τὰ τούτων ἀποτελέσματα παραδίδωσι. λέγει οὖν ζ κλήρους πρὸς τὸν ἀριθμὸν τῶν ζ ἀστέρων. τὸν μὲν κλῆρον τοῦ ☉, ἀγαθὸν ὀνομάζων δαίμονα: τὸν δὲ τῆς ☾, ἀγαθὴν τύχην: τὸν δὲ τοῦ ♃, νίκην: τὸν τοῦ ☿ ἀνάγκην: τὸν τῆς ♀, ἔρωτα: τὸν τοῦ ♂ τόλμην: καὶ τὸν τοῦ ♄, νέμεσιν. Ἰστέον δὲ, ὅτι καὶ ἄλλοι κλῆροι ὑπάρχουσιν, ἔξωθεν τῆς παναρέτου, πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμων, καὶ ἄλλων πολλῶν. ὁ μέν τοι παῦλος οὗτος, οὐ πάντας ἐκτίθεται.

ὑπόδειγμα.

Τὸν κλῆρον οὖν τῆς τύχης ἀριθμεῖν δεήσει, καθὼς προείρηται, ἐπὶ ἡμερινῶν γενέσεων, ἀπὸ μοι. ☉ ἕως μοι. ☾, τὰς πάσας τῶν μεταξὺ ζωδίων μοι. συλλαμβάνοντας: ἔτι δὲ καὶ τὰς τοῦ ὡροσκόπου, καὶ οὕτως τὸν συναγόμενον ἀριθμὸν διέκβαλλε ⊕ ἀπὸ τοῦ ὡροσκόπου, διδοὺς ἑκάστῳ ζωδίῳ μοι. λ. καὶ ὅπου δ' ἂν καταλήξῃ ὁ σύμπας ἀριθμὸς, ἐκεῖσε τῆς τύχης ἀποφαίνεσθαι δεήσει τὸν κλῆρον. Οἷον ἐπὶ ἡμερινῆς γενέσεως, δεδόσθω τὸν ☉ ♓ μοι. κη: τὴν δὲ ☾ ♒ μοι κη: τὸν δὲ ὡροσκόπον, ♌ μοι ια. ποιήσομεν ἀπὸ ☉ ἐπὶ ☾, γίνονται μοι, τλ. προσθήσομεν καὶ τὰς τοῦ ὡροσκόπου μοι ια. αἱ πᾶσαι μοι τμα. ἀπολύσομεν ἀπὸ τοῦ ♌, κατέληξεν ἐν ♋ μοι ια. οὗτος ἐστὶν ὁ τῆς τύχης κλῆρος. ὁμοίως δὲ καὶ τὸν τοῦ δαίμονος, ἀπὸ μοι ☾, ἐπὶ μοι ☉, αἵ εἰσι λ: προσθήσομεν καὶ τὰς τοῦ ὡροσκόπου μοι ια, αἱ πᾶσαι μα. ἀπολύομεν ἀπὸ ♌: κατέληξεν ἐν ♍ μοι. ια. οὗτος ἐστὶν ὁ τοῦ δαίμονος κλῆρος. ὁμοίως δὲ καὶ τὸν τοῦ ἔρωτος, ἀπὸ κλήρου δαίμονος ἐπὶ μοι ἀφροδίτης. κλῆρος

δαίμο

in horæ momento, quod partus tempori congruit: atq; hoc uniuerſalem ſignificationem obtinet.

* *Sic Triſmegiſtus Hermes nominat ſuum libellum, in quo de ſortibus docuit, fortaßis quòd de neceſſarijs & utilibus tractet. Scriptum enim eſt ab Hermete de eiuſmodi ſortibus, in libro, qui dicitur Panaretus: unde & harum prædictiones exhibet. Numerat igitur 7 ſortes, ſecundùm numerum 7 Planetarum: ſortem quidem Solis, bonum nominans Genium, Lunæ bonam Fortunam, Iovis Victoriam, Mercurij Neceßitatem, Veneris Amorem, Martis Audaciam, & Saturni Vltionem. Sciendum verò, quòd aliæ etiam ſortes ſunt, extra Panaretum: Patris & matris, fratrum & liberorum, & nuptiarum aliorumq; multorum. Sed hic Paulus non omnes exponit.*

Exemplum.

Sortem Fortunæ numerare oportebit, quemadmodum antè dictum eſt, in diurnis genituris, à Sole uſq; ad Lunam, ita ut omnes partes intermediorum ſignorum ſimul computentur, inſuper & Aſcendentis: atq; ſic collectum numerum percenſe ⊗ ab Aſcendente, dans cuilibet ſigno partes 30: ubi deſierit numerus, ibi Fortunæ ſortem notabis. Vt in diurna genitura, Sol teneat Piſcium partem 28: Luna Aquarij partem 28: Aſcendens Leonis partem 11. Numerabimus à Sole ad Lunam, colligentur partes 330: Adijciemus & Aſcendentis partes 11, conſient 341. Has percenſebimus à Leone, deſinit numerus in Cancri parte 11: atq; hæc eſt ſors Fortunæ. Similiter & Genii inveſtigabimus, à parte Lunæ ad partem Solis, quæ ſunt 30: addemus & Aſcendentis partes 11, fiunt uniuerſæ 41. Ducimus has numerando à Leone, deſinit numerus in Virginis parte 11, quæ eſt Genii ſors. Sic Amoris etiam ſortem colligemus, à ſorte Genii ſupputando, uſq; ad partem Veneris. Sors

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

δαίμονος, ♍ μοῖ ια· ἡ δὲ ♀ ♒ μοῖ ιε. ψηφίσωμεν ἀπὸ ♍ ἐπὶ Ἀφροδίτην, γίνονται ρνδ· προσθέντες αὐτοῖς καὶ τὰ τοῦ ὡροσκόπου μοῖ ια, ἀπολύσωμεν ἀπ' αὐτῶν· εὑρίσκεται ὁ κλῆρος τοῦ ἔρωτος, ἐν ♑ μοῖ ιε. καὶ ἐπὶ μὲν ἡμερινῆς γενέσεως οὕτως. ἐπὶ δὲ νυκτερινῆς, ἀνάπαλιν. οἷον ἐπὶ τοῦ κλήρου τῆς τύχης, ἐλάβομεν ἐπὶ ἡμερινῆς γενέσεως ἀπὸ ☉, ἐπὶ ☾. νυκτερινὴν δὲ πραγματευόμενοι, ποιήσομεν ἀπὸ ☾ ἐπὶ ☉, καὶ τὰ λοιπὰ ὁμοίως. τὸν δὲ τοῦ πατέρος κλῆρον, τῆς μὲν ἡμέρας γινομένης, ἀπὸ ☉ ἐπὶ ♄ δεήσει πραγματεύεσθαι μοιρικῶς, καὶ τὸν συναχθέντα ἀριθμὸν, ἅμα ταῖς τοῦ ὡροσκόπου μοῖ, διεκβάλλειν ὁμοίως ἀπ' αὐτοῦ, καὶ σκοπεῖν, ἔνθα ἂν καταλήξῃ· ἐκεῖ γὰρ ἔσται τοῦ πατρὸς ὁ κλῆρος. τῆς δὲ νυκτὸς, τὸ ἀνάπαλιν. ἐὰν δὲ ὁ τοῦ ♄ ἀστὴρ ὕπαυγος * εὑρεθῇ, ἀπὸ ♂ ἐπὶ ♃. καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἀπολάμβανε, καὶ ἐπὶ τῶν ἡμέρας καὶ τῶν νυκτὸς γινομένων. τὸν δὲ τῆς μητρὸς κλῆρον, ἐπὶ μὲν ἡμέρας ἀπὸ ♀ ἐπὶ ☾, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· ἐπὶ δὲ νυκτὸς, τὸ ἀνάπαλιν.

⊕ Ὡς γὰρ τὰς ἀπὸ ☉ μέχρι ☾, λαμβάνομεν ἐπὶ τὰ ἑπόμενα· οὕτως καὶ τὰ ἀπὸ ὡροσκόπου, ἕως οὗ συντελεσθῶσιν αἱ ἀπὸ τοῦ ☉ μοῖ. ἐπὶ τὴν ☾. αὐτὰς γὰρ ἀπὸ τοῦ ὡροσκόπου ἐκβάλλω, τὰς δὲ τοῦ ὡροσκόπου ια προστίθεμαι ταῖς τλ, οὐχὶ ὡς καὶ αὐτὰς τοῦ κλήρου τῆς τύχης οὔσας, ἀλλ' ἵνα προχειροτέρα γένηται ἡ ἄφεσις, ἀπ' ἀρχῆς τοῦ ζῳδίου τοῦ λέοντος.

* Ὕπαυγος ἐστὶν ἀστὴρ, ὅταν ἐντὸς ιε μοῖ. ἐστὶ πρὸς τὸν ☉. εἰ δὲ τὴν ιε παρέλθῃ, οὐκ ἔτι λέγεται ὕπαυγος.

Περὶ τῆς τῶν δώδεκα τόπων πινακικῆς ἐκθέσεως.

Τῶν δεκαδύο τόπων πρὸς πᾶσαν ἀποτελεσματογραφίαν λαμβανομένων, ἀρχὴ καὶ πρωτοστάσιον ἐστὶν ὡροσκόπος, δι' οὗ πάντα τὰ πρὸς τὸν ἄνθρωπον συμβαίνοντα πράγματα καταλαμ-

βάνονται

*Genij, eſt Virginis pars undecima: Venus Aquarij partem 15 tenet. Numerabimus à virgine ad Venerem, fiunt 154. addemus & horoſcopi partes 11, ſummam inde percenſebimus: invenitur ſors Amoris in Capricorni parte 15. Atq; in diurna quidem genitura hæc ratio obſervatur: in nocturna verò contrà fit. Vt, ſortem Fortunæ accepimus in diurna genitura à Sole ad Lunam. Nocturnam verò inveſtigabimus, numerando à Luna ad Solem, & reliqua ſimiliter, ut antea, peragendo. Sortem autem patris interdiu à Sole ad Saturnum in partibus ſcrutabimur, numerumq; cum Aſcendentis partibus collectum, percenſebimus ab Aſcendente, conſiderando, quò evaſerit: Ibi enim eſt ſors patris. Noctu, contrà proceditur. Quando verò ſtella Saturni combuſta * fuerit: à Marte ad Iovem numera, & ſimiliter ab Aſcendente, tam in diurnis, quàm nocturnis. Matris ſortem interdiu à Venere ad Lunam collige, & ſimili ratione ab Aſcendente: noctu, econtrario.*

⊛ *Sicut enim partes à Sole uſq; ad Lunam, numeramus ſecundùm ſignorum ordinem: ſic etiam eas, quæ ab Aſcendente, donec compleantur partes, quæ à Sole ſunt uſq; ad Lunam: has enim ab Aſcendente percenſeo. Aſcendentis verò 11 addo ad 330, non quaſi ipſæ quoq; ſint partis fortunæ: ſed ut expeditior ſit dimiſsio vel numeratio, à principio ſigni Leonis.*

* *Combuſta dicitur ſtella, quando intra 15 partes eſt à Sole. Cùm verò 15 ſuperaverit, non ampliùs combuſta nominatur.*

De duodecim domiciliorum cœli, quaſi in tabella facta, expoſitione.

Duodecim locorũ aut domiciliorũ, quæ ad omnẽ eventuũ prædictionẽ aſſumuntur, principium et fundamentũ eſt pars aſcendens, per quã, quæ ad hominẽ pertinent, deprehenduntur uni-

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

βάνονται. ζωῆς γὰρ καὶ πνεύματος ὁ ὡροσκόπος δοτὴρ καθέστηκεν: ὅθεν οἴαξ καλεῖται. σημαίνει δὲ τὴν τῆς νεότητος ἡλικίαν, ἥτις ἐστὶ πρώτη. καὶ ἐν αὐτῇ, εἴτε τὴν τῶν φαύλων, εἴτε τὴν τῶν ἀγαθῶν ἐνέργειαν ἀποδείκνυσιν. ἐν δὲ † τούτῳ τῷ τόπῳ μόνος ὁ τοῦ ☿ ἀστὴρ παρὰ πάντας τοὺς ἀστέρας χαίρει. ἐπὰν δέ τις τῶν ἀγαθοποιῶν ἀστέρων, ἢ τῶν φώτων, ἢ ὁ τοῦ ☿ ἀστὴρ ἐπὶ τοῦ ὡροσκόπου χρηματίσῃ, δίχα τῆς τῶν ἀγαθοποιῶν ἀστέρων σχηματογραφίας, ζώσιμον καὶ τρόφιμον τὸ γεννώμενον ἔσται, καὶ ἐν εὐτυχίᾳ τὸν βίον διατελέσει. ἐὰν δέ τις τῶν κακοποιῶν ἀστέρων ὡροσκοπήσῃ, καὶ τὸν ☉ ἢ τὴν ☾ καταπλεύσῃ: ἄτροφα ἢ ὀλιγοχρόνια ἢ σεσινωμένα ἢ ἐπιπαθῆ, ἢ ἐν ὀρφανίᾳ διατελοῦντα, τὰ γεννώμενα ἔσται.

† Εὑρεθεὶς ἐκ αὐτῷ, μὴ ὢν ὑπαύγος: τότε γὰρ τὰ μέγιστα ἀγαθὰ τῇ γενέσει πορίζει: ὡσαύτως δὲ κἂν μὴ αὐτὸς ᾖ, ἕτερος δέ τις τῶν ἀγαθοποιῶν. εἰ μέντοι ἢ κακῶς σχηματίζεται ὁ ☿, ἐκεῖσε ὢν, ὑπὸ ♄ ἢ ὑπὸ ♂ βαλλόμενος κατὰ σχῆμα: ἢ εἷς τούτων ἐκεῖσε εὑρεθῇ, καὶ τὸν ☉ ἢ τὴν ☾ σχηματίσει: τἀναντία συμβήσεται.

Τὸ δὲ β. ἀπὸ ὡροσκόπου καλεῖται βίος, καὶ ᾅδου πύλη, καὶ ἐπαναφορὰ τοῦ ὡροσκόπου. ἔσθ᾽ ὅτε δὲ καὶ τὸν περὶ πράξεως λόγον σημαίνει: διὰ τὸ σύμφωνον αὐτὸ εἶναι, * καὶ εὐώνυμον τρίγωνον, τῷ μεσουρανοῦντι. ἐν τούτῳ δὲ τῷ ζῳδίῳ οἱ ἀγαθοποιοὶ ἀστέρες ἐπιπαρόντες, κατὰ τὴν τῶν χρόνων πρόβασιν τὰς εὐτυχίας ἀποτελοῦσιν. ὅτε δὲ καὶ κληρονόμους ἀλλοτρίων δεικνύουσιν. ὁ γὰρ τόπος, ἀγαθῶν ἐλπίδων δοτὴρ καθέστηκεν. οἱ δὲ κακοποιοὶ ἐπὶ τούτου τοῦ τόπου ὑπάρχοντες, ἔκπτωσιν βίου καὶ χρημάτων ἀποβολὰς δεικνύουσιν, καὶ τὸ παράπαν δυσπερικλήτους: ὅτε δὲ καὶ μεταναστάσεις ποιοῦσιν.

* Καὶ γὰρ ἀπὸ τοῦ μεσουρανήματος, μέχρι τοῦ β τόπου, πέντε ζῴδια εἰσὶν, ἐν οἷς τὸ τρίγωνον θεωρεῖται. ὥστε τὸ μεσουρανοῦν

περὶ

uerſa. Vitam enim & ſpiritum donat pars illa, unde clauus aut gubernaculum appellatur. Significat iuventutem, quæ eſt ætas prima: & in hac bonorum aut malorum efficientiam pollicetur. Gaudet in hoc loco † Mercurius præ omnibus aliis ſtellis. Quando verò alterutra beneficarum, aut luminare alterutrū, aut ſtella Mercurij, partem aſcendentem occupaverit, etiam ſine beneficarum configuratione: Vitale & vegetum erit, quod natum eſt, & in felicitate vitam tranſiget. Sin malefica ſtella in Aſcendente fuerit, & Solem aut Lunam aſpexerit: quæ genita ſunt, non nutrientur, aut brevi certè tempore vivent, aut membris corporis læſa morbisve afflicta erunt, aut in orbitate vitam degent.

† Repertus in eo non combuſtus. Tunc enim maxima bona dat in genitura. Similiter, etiamſi ipſe non ſit, ſed alius quidā beneficorum. Sin verò aut malè ibi configuretur Mercurius, petitus à Saturno vel Marte, hoſtili radio: aut alter maleficorum ibi reperiatur, ſolemq; aut Lunam aſpiciat: contraria evenient.

SECVNDVM ab aſcendente domicilium vocatur vita, & Plutonis porta, & ſuccedens horoſcopo. Interdum & actiones vitæ denotat, propterea quod è ſiniſtro * trigono cum medio cœli concordat. In hoc ſigno beneficæ ſtellæ repertæ, hæredes ſignificant extraneorum bonorum. Nam hic locus ſpes bonas pollicetur. At maleficæ in hoc conſtitutæ, iacturam nunciant rei familiaris, & pecuniarum effuſiones, & in ſumma egenos interdum atq; exules faciunt.

* Nam à medio cœli uſq; ad ſecundum locum, ſunt 5 ſigna, intra quæ trigonus aſpectus exiſtit. Quare medium cœli

πρὸς τὸν β τόπον, τρίγωνον σχῆμα ἐστίν. ἔστι δὲ τὸ μεσουρανοῦν, εἰς τὰ ἡγούμενα: τὸ δὲ β, εἰς τὰ ἑπόμενα: διὸ καὶ εὐώνυμον λέγεται.

Τὸ δὲ γ ἀπὸ ὡροσκόπου, χρημάτων ἐστὶ περιποιητικόν. σημαίνει δὲ καὶ τὸν περὶ ἀδελφῶν λόγον. καλεῖται δὲ θεά, τόπος ☾, καὶ ἀγαθὸν † ἀπόκλιμα. τὸν δὲ περὶ φιλίας ἢ πατρωνίας κεκλήρωται τόπον. ὅτε δὲ καὶ ξενιτείας παραίτιος γίνεται, ὅτι διάμετρον τοῦ περὶ θεῶν ζωδίου τέτευχε, τοῦ σημαίνοντος τὸν περὶ ξενιτείας λόγον. ἐν δὲ τούτῳ τῷ ζωδίῳ ἡ ☾ μόνη παρὰ πάντας τοὺς ἀστέρας χαίρει. ἐπὰν δὲ ἀγαθοποιοὶ ἀστέρες, τῆς αἱρέσεως ὄντες, ἐκεῖσε χρηματίσωσιν: ἐπαύξησιν βίου καὶ χρημάτων περίκτησιν, καὶ τὸν περὶ ἀδελφῶν καὶ φίλων λόγον, ἐπωφελῆ καὶ συμπαθέστερον ἀποδεικνύουσι. ποιοῦσι δὲ καὶ πολυφίλους, καὶ πολυγνώστους, καὶ πολυαδέλφους: καὶ τὰς παρὰ φίλων ἢ ἀδελφῶν χάριτας ἢ δωρεάς, παρέχουσιν. οἱ δὲ κακοποιοὶ ἀστέρες ἐπὶ τούτου τοῦ * τόπου τυχόντες, τἀναντία τούτων ἀποτελοῦσιν.

† Ἀπόκλιμα τοῦ ὑπὲρ γῆν μεσουρανήματος, ἐν τῷ ἀπὸ ἀνατολῆς εἰς δύσιν ἀπιέναι. οὕτω γὰρ λαμβάνονται τὰ ἀποκλίματα. ὑπὸ γῆν δέ: ἐν τῷ ἀπὸ δύσεως, εἰς ἀνατολήν.

* Πλὴν * οὐκ * εἰς τέλος. ἐπειδὴ ὅλως ἐν οἰκείῳ τόπῳ ἡ ☾ ἐστίν. ὑποθοῦ γὰρ καὶ τὴν ☾ εἶναι ἐν τούτῳ. εἰ δὲ εὑρεθεῖ τις ἐκεῖ τῶν κακοποιῶν, πάντα κάκιστα τὰ προειρημένα ἀπαντᾷ. εἰ μέντοι μηδεὶς εἴη τῶν ἀστέρων ἐκεῖσε, σκοπεῖν δεῖ, ὑπὸ ποίων βάλλεται κατὰ σχῆμα τὸ ζώδιον: καὶ οὕτως ἀποφαίνεσθαι, μέσα τὰ ἀγαθά, καὶ μέσα τὰ κακά, τοῦτο δὲ καὶ ἐπὶ πάντων τῶν τόπων, ὅταν μὴ παρῇ ἀστήρ.

* Lego οὐχί. *

Τὸ δὲ δ ἀπὸ ὡροσκόπου καλεῖται ὑπόγειον καὶ ἀντιμεσουράνημα, καὶ βόρειον κέντρον ὑπάρχον: σημαῖνον τὴν τοῦ γήρως καὶ ἡλικίαν, καὶ τὴν τοῦ βίου τελευτήν, καὶ τὴν τοῦ σώματος

περισ-

cum ſecundo loco, figuram triquetram conſtituit. Numeratur verò medium cæli in ſigna præcedentia, ſecundus locus in conſequentia: qua de cauſſa & ſiniſtrum trigonum appellatur.

Tertium ab Aſcendente bona fortunasq́ comparat, & de fratribus ſignificationem facit. Vocatur Dea, locus Lunæ, & fortunatum † cadens. Sortitum eſt ea, quæ ad amicitiam aut patrocinium ſpectant. Interdum & cauſſa fit peregrinationis, quoniam opponitur ſigno Deorum, quod prædictiones continet de peregrinatione. In hoc ſigno ſola Luna præ cæteris Planetis gaudet. Si beneficæ ſtellæ, quæ eiuſdem conditionis ſint, ſedem ibi obtineant: incrementum rei familiaris & facultatum poſſeſſionem indicant: & fratrum amicorumq́ coniunctionem magis fructuoſam & conſentientem reddunt. Conciliant etiam multos amicos, efficiunt homines nomine illuſtres, dant fratres multos, & beneficia vel dona ab amicis aut fratribus ſuppeditant. Sed maleficæ ſtellæ in hoc loco conſtitutæ, horum contraria efficiunt.*

† *Cadens à medio cæli infra terram, quando ab ortu in occaſum proceditur. Sic enim ſumuntur domicilia cadentia. Sub terra verò, procedendo ab occaſu in ortum.*

* *Veruntamen non perpetuò. Quoniam omninò in proprio loco eſt Luna. Pone enim & Lunam ibi eſſe. Si verò malefica ibi reperitur, prædicta omnia peſſima accidunt. Sin nullus ibi fuerit Planeta, conſiderare oportet, cum quibus configuretur hoc ſignum, atq́ ſic mediocria bona, & mala mediocria definientur. Hoc verò & de alijs locis intelligendum eſt, in quibus nullus Planeta aderit.*

Quartum ab aſcendente vocatur ſubterraneum, & oppoſitum medio cæli. Eſtq́ cardo Boreus, ⊕ ſignificans ſenectutem, ℞ & vitæ finem, corporisq́ ad ſepulturam apparatum, &

quæ

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

περιστολὴν, καὶ τὰ μετὰ θάνατον πάντα. ἔστι δὲ ὁ τόπος, περὶ ἐγγείων καὶ θεμελίων, καὶ περὶ γονέων, καὶ πατρίδος, καὶ οἰκίας καὶ διαμονῆς καὶ ἐνδομενίας πάσης, σημαντικός: ὅτε δὲ, καὶ πλοίων καὶ ὑδατικῶν τόπων περιεκτικὸς γίνεται. δηλοῖ δὲ καὶ τὸν περὶ κοινωνίας λόγον. ἐν τούτῳ τῷ τόπῳ, ὁ μὲν ♄ τῆς αἱρέσεως ὑπάρχων, πλουσίους δείκνυσι, καὶ ἀπὸ μέσης ἡλικίας κλησιβίους γινομένους: ὅτε δὲ, καὶ εὑρεμάτων δοτὴρ γίνεται. νυκτὸς δέ, τὰ πατρικὰ μειοῖ, καὶ πατρὸς ἀποξένωσιν ἢ ὀρφανίαν τίθησι: καὶ ἐπίνοσον τὴν νεότητα δείκνυσι, καὶ ἀδοξίας παραίτιος γίνεται. ὁ δὲ τοῦ ♂ ἀστὴρ ἡμέρας μὲν ἐπὶ τοῦ τόπου τυγχάνων, ἐπινόσους καὶ πτωματιζομένους ἀποτελεῖ: νυκτὸς δὲ, ἐλάττονας τὰς ἐπιστάσεις, ἤγουν, τὰς κακώσεις ποιήσει. ὅτε δὲ, καὶ στρατείαις τὸν γεννώμενον φέρει. πλὴν τὸν περὶ γάμων καὶ τέκνων λόγον κακίζει, καὶ τὸ παράπαν ἀπὸ γυναικῶν πυκνότερον ἀδικουμένους καὶ ἀχαριστουμένους ποιεῖ.

⊕ Διὰ τὴν ἔγκλισιν τῆς σφαίρας, πάντοτε τὸ ὑπόγειον, βορειότερον πίπτει.

♣ Ποιεῖ δὲ τὰ ἀποτελέσματα, ἐν γεροντικῇ, φησὶν, ἡλικίᾳ, ἐπὰν ἐν γενέσει ληφθῇ τὸ θεμάτιον. ἐπὶ δὲ πράγματος, βραδέως πάνυ γενέσθαι δηλοῖ. ἐὰν οὖν ἀγαθοποιοὶ, φησὶν, παρῶσι τῷ ὑπὸ γῆν κέντρῳ: ἀγαθὰ τὰ προειρημένα, καὶ πρὸς τούτοις γηράσει, καὶ ταφήσεται ὑπὸ τῶν οἰκείων, καὶ κληρονομηθήσεται. ὡσαύτως κἂν ὑπὸ ἀγαθῶν μαρτυρῆται, μάλιστα κατὰ αἵρεσιν. ἂν μέντοι τις τῶν κακοποιῶν εὑρεθῇ, οὐ πάντως κακὰ γενήσεται. χαίρει γὰρ ἐν τούτῳ ὁ ♄, μάλιστα ἐὰν κατὰ αἵρεσιν ὢν τύχῃ ἐν τῇ γενέσει. τὰ δὲ μέγιστα, ἀπὸ μέσης ἡλικίας παρέχει, πλοῦτον καὶ εὑρέματα. εἰ δὲ παρ᾽ αἵρεσιν εὑρεθῇ, φαῦλον. ἐκεῖσε γὰρ εὑρεθεὶς, μείωσιν ποιεῖ τῆς πατρικῆς οὐσίας.

Τὸ δὲ ε. ἀπὸ ὡροσκόπου καλεῖται ἀγαθὴ τύχη, ♀ τόπος ὑπάρχων, ἐν ᾧ καὶ γενόμενος ὁ τῆς ♀ ἀστὴρ, παρὰ πάντας τοὺς

ἀστέρας

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

quæ mortem ſequuntur univerſa. Prædictiones ex hoc loco ſumuntur de ijs, quæ in terra ſunt, & de fundamentis ædificijsq́; de parentibus ac patria, de domo & permanſione, omniq́; habitatione domeſtica. Interdũ verò & navigiorum & aquarum, aut locorum, quæ aquis adiacent, poſſeſſores ſignificat: & indicia dat de rerum communione. In hoc loco Saturnus, ſi eiuſdem conditionis ſit, divites deſignat, & qui à media ætate incipiant bona poßidere: interdum & inſperata lucra donat. Noctu verò, ea quæ ad patrem pertinent, minuit, atq; cauſſa huic exiſtit mora extra patriam, & orbitatis. Significat etiam ægrotationes in ætate iuvenili, & deſpectionẽ vel ignominiam parit. Martis ſtella, interdiu quidem in hoc loco conſtituta, morbis obnoxios & ruinis ex alto efficit. Noctu verò, leviores malorum incurſiones aut afflictiones affert: Interdum & natum in militiam extrudit. Cæterùm de nuptiis & liberis ſignificationes infelices & calamitoſas reddit. Et in ſumma tales efficit, qui à mulieribus frequentius iniuria afficiantur, & apud has in nulla ſint gratia.

⊛ Propter inclinationem ſphæræ, ſemper ſubterraneum in Boream magis cadit.

☙ Producit eventus in ſenili, inquit, ætate, quando in primo ortu conſtitutum fuit thema. In negociis verò conficiendis, tardum admodùm fore natum, ſignificat. Quando igitur benefici, inquit, erunt in cardine, ſub terra, fortunata ſunt ea, de quibus dictum eſt: ac præterea ſeneſcet natus, ſepelieturq́; à domeſticis, & hæredes habebit. Similiter cùm hic locus teſtimonia habuerit à beneficis, præſertim eiuſdem conditionis. Sin maleficus hîc reperietur, non omninò mala accident. Gaudet.n. in hoc loco ♄, maximè cùm ſecundùm conditionem fuerit in genitura. Quod verò præcipuum eſt, à media ætate præbet divitias & lucra. Sin præter conditionem reperiatur, malum. Ibi enim poſitus, detrimentum importat facultatibus paternis.

QVINTVM ab aſcendente vocatur bona fortuna, eſtq́; locus Veneris, in quo conſtitutum eius ſidus, præ cæteris

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ἀςέρας ἐν τούτῳ τῷ τόπῳ χαίρει. ἔςι δὲ ἐπαναφορὰ τοῦ ὑπογείου κέντρου, καὶ σημαίνει τὸν περὶ τέκνων λόγον. ἐν τούτῳ τῷ ζωδίῳ οἱ μὲν † ἀγαθοποιοὶ, χαίρουσι, καὶ εὐτεκνίας διδόασιν : οἱ δὲ κακοποιοὶ ἐν τούτῳ τῷ τόπῳ, ἀναιρετικοὶ τέκνων γίνονται.

† Μάλιςα ὁ τῆς ♀ ἀςὴρ. εἰ δὲ κακοποιὸς εὑρεθῇ τις, καὶ τοσοῦτον ἐςὶ κακοποιὸς, διὰ τὴν τῶν τόπων ἀγαθότητα. ἀναιρετικὸς δὲ τῶν τέκνων γίνεται.

Τὸ δὲ ϛ ἀπὸ ὡροσκόπου, καλεῖται κακὴ τύχη, καὶ ποινὴ, καὶ πρόδυσις, καὶ ἀπόκλιμα φαῦλον. τόπος ♂ χρηματίζον. σημαίνει δὲ, τὸν περὶ σίνους λόγον. ἐν δὲ τούτῳ τῷ ζωδίῳ ὁ τοῦ ♂ ἀςὴρ παρὰ πάντας χαίρει. οἱ δὲ λοιποὶ ἀςέρες ἐπὶ τοῦ τούτου τόπου τυχόντες, ἄπρακτοι καὶ ἀδρανεῖς περὶ τὴν τῶν ἰδίων ἀποτελεσμάτων ἐνέργειαν δείκνυνται: ἐπάντως τῶν ἀγαθοποιῶν ἀςέρων μὴ δὲ εἷς, ἐπὶ τοῦ κατὰ κορυφὴν κέντρου, ἢ ἐν τῇ τοῦ ὡροσκόπου ἐπαναφορᾷ χηματίσῃ. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ τὸ πρᾶος τὸν

* παρέχων, ἐνεργὴς γίνεται, ἐπάντως τὰς ἀκτῖνας ἐπενέγκῃ μοιρικῶς ἐπὶ τοῦ μεσουρανήματος : ὅτι σύμφωνος καὶ δεξιὸς ἐςὶν ὁ τόπος, κατὰ τρίγωνον ςάσιν, τῷ μεσουρανοῦντι κέντρῳ. σημαίνει δὲ ὁ τόπος, τὰ πρὸς ὑπηρεσίαν συντείνοντα θηλυκῶν προσώπων εἴδη, λέγω δὴ, δουλικῶν, καὶ κτηνῶν θηλυκῶν. ἐπάγει δὲ καὶ τὰς διὰ θηλυκῶν προσώπων γινομένας ἔχθρας, ἐπιβουλάς τε καὶ ἐπαναςάσεις. ἐν δὲ τούτῳ τῷ τόπῳ, ὁ μὲν ☉ πατρὸς μὲν πένητος ἢ ἀδόξου ἢ ἀγεννοῦς, ἢ ἐκ πτώχου τὸν γεννηθέντα δείκνυσιν: ὅτε δὲ, καὶ ἀπὸ πατρὸς ὀρφανόν. ἡ δὲ ☾ ἐπὶ τούτου τοῦ τόπου τυχοῦσα, μητρὸς δούλης, ἢ πτωχῆς, ἢ πενιχρᾶς, ἢ ἀδόξου, ἢ ἐλαχίςης ποιήσει: ὅτε δὲ καὶ ἀπὸ μητρὸς ὀρφανίαν ⊗ τελέσει. ἐν δὲ τούτῳ τῷ τόπῳ ὅ ἐςιν ἀπὸ ὡροσκόπου ϛ, ἄρης νυκτερινῆς γενέσεως χαίρει, καὶ ἐπὶ ςρατείαν ἢ δόξαν ἀρεικὴν ☋ προσκαλεῖται: ἐπάντως ἐν θηλυκῷ ζωδίῳ εὑρεθῇ, καὶ τρίγωνος ☉ ἢ ☾, ἢ τῷ τοῦ ♃ γένηται, ἢ σὺν τῷ τῆς ♀ ἔτυχεν, ἢ καὶ αὐτὴν ἐτριγώνισε.

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

gaudet. Succedit ſubterraneo cardini, & de liberis ſignificationes facit. In hoc enim ſigno † beneficæ ſtellæ gaudent, & felicitatem dant liberorum: maleficæ verò hîc conſtitutæ, liberos interficiunt.

† Maximè Veneris ſtella. Si verò malefica aliqua ibi reperta fuerit: multò magis fit malefica, propter locorum bonitatem, ac liberos interimit.

SEXTVM ab aſcendente vocatur mala fortuna, & pœna, & præoccidens, & cadens infortunatum: locus Marti attributus. Denotat vitia & debilitates corporis. In hoc ſigno ſtella Martis præ omnibus gaudet. Cæteræ ſtellæ in hunc locum delatæ, infirmas & imbecilles vires habere deprehenduntur, ad ſignificata propria perficienda: quando beneficarum nulla in medio cœli, aut in eo, quod Aſcendenti ſuccedit, configurata fuerit. Quæ verò ſtella hoc in loco actionis vel * magiſterij autor eſt, ea efficax fit, ubi radios partiliter ſparſerit in medium cœli: quoniam concordat hic locus cum medij cœli cardine, & dexter illi eſt, ſecundùm trianguli intervallum. Significat etiam hic locus res eas, quæ ad miniſteriũ fœmineum, nempè perſonarum ſervilium & quadrupedum fœminarum pertinent. Et inimicitias affert, quæ propter fœminas ſuſcipiuntur, inſidiasq; & ſeditiones. Sol in hoc loco repertus, naſci aliquem facit patre paupere, aut inglorio aut ignobili, aut ex mendicis: interdum à patre orbum ſignificat. Luna verò hunc locum ſortita, matre faciet naſci ſerva, aut mendica, aut paupere, aut ingloria, aut quæ conditionis ſit infima: interdum & matre ⊕ orbabit. In hoc loco, quæ eſt ſextus ab horoſcopo, Mars in nocturna genitura gaudet, & in militiam aut ad gloriam ⌘ bellicam vocat, ſi in fœminino ſigno repertus fuerit, & in angulo Solem, Lunam vel Iovem aſpexerit, aut cum ſtella Veneris iunctus, aut ſecundùm triangulum configuratus fuerit.

 * Quando

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

* Ἂν γὰρ τότε τις ἐν τῷ μεσουρανήματι ᾖ ἀγαθοποιὸς, βάλ-
λων εἰς τοῦτον τὸν τόπον κατὰ τρίγωνον τὰς ἀκτῖνας: πρακτικὸς
γίνεται.

⊛ Εἰ δὲ βάλλεται κατὰ τρίγωνον σχῆμα ὑπὸ ἀγαθοποιοῦ, ση-
μαίνει, αὐτὴν ὑπὸ ἀνδρὸς πλουσίου συγκεκροτῆσθαι, καὶ μὴ ἠλευ-
θερῶσθαι.

♣ Εἰ δὲ καὶ μὴ σχηματίζεται ὑπὸ ἀγαθοποιῶν, οὐ * δεόντων *
* * μεγάλα κακὰ ἐπαύξει, ἐὰν μὴ ᾖ παρ' αἵρεσιν. ὡσαύτως
Lego: δὲ οὐδὲ ὁ ♄, ἐκεῖσι κατὰ αἵρεσιν εὑρεθείς. ἐπεὶ χαίρουσιν οἱ κακοὶ
οὐδὲ ἐν τού- ἐν κακοῖς. εἰ μὲν τοι παρὰ αἵρεσιν εὑρεθεῖεν ἐκεῖσε οἱ κακοποιοὶ,
τῳ. τὰ ἴδια, φησὶ, κακὰ τοῦ τόπου, ἀποτελοῦσιν: οἷον, σίνη καὶ ἐπα-
ναστάσεις, ἐκ θηλυκῶν προσώπων.

Τὸ δὲ ζ ἀπὸ ὡροσκόπου, σημαίνει τὸν γαμοστόλον, καὶ τὰς
γινομένας μακρὰς ξενιτείας, καὶ τὴν τοῦ † θανάτου ποιότητα.
καλεῖται δὲ ἀνθωροσκόπος. ἔστι δὲ, καὶ κέντρον δυτικὸν, τὴν
πρεσβυτικὴν ἡλικίαν ἐμφαῖνον. ἐν δὲ τούτῳ τῷ τόπῳ, ἡμέρας
μὲν ὁ τοῦ ♄ τυχὼν ἀστὴρ, χαίρει, ἐπάνπερ ἐν ἰδίῳ ζωδίῳ, ἢ τριγώνῳ,
ἢ ὑψώματι εὑρεθῇ. ποιήσει γὰρ μακροβίους, ὑψιτύχους, πο-
λυχρονίους, εὐκτήμονας. οὐκ ἀπαθεῖς δὲ τῶν κρυφίμων τόπων
ἀποτελεῖ: ἀλλ' ὁτὲ μὲν ἐπὶ τὰς ἕδρας πάθος ποιήσει: ὁτὲ δὲ
αἷμα καθεζομένοις ἀποδείκνυσιν: ὁτὲ δὲ δυσεντερικαῖς ἢ κοιλια-
καῖς περιστάσεσι περιβάλλει. καὶ τὰς προειρημένας τῶν παθῶν
ἐπιφορὰς μᾶλλον ἐπιαύξει, ἐν ἀλλοτρίοις ζωδίοις σχηματί-
σας. ὁ δὲ τοῦ ♂ ἐπὶ τοῦδε τοῦ τόπου τυχὼν, πολλῶν * κακῶν παρ-
ραίτιος γίνεται: ὁτὲ μὲν σίνεσιν, ὁτὲ δὲ πάθεσι περιτρέπων: καὶ
τὸ παράπαν δυσπερικτήτους, ἢ ἐν ἀλλοδαπῇ γῇ διαπλεῦντας, ἢ
μετανάστας, ἢ ξενιτεύοντας, ποιήσει. ὁτὲ δὲ καὶ ὀλιγοχρονίους,
ἢ ⊛ βιαιοθανάτους ἀποδείκνυσιν: ὅτε τὸν ☉ ἢ τὴν ☾ κατοπτεύσει,
ἢ τὴν τῆς ☾ συναφὴν ὑποδέξεται, ἐπάνπερ ἐκτὸς τῆς τῶν ἀγα-
θοποιῶν ἀκτῖνος εὑρεθῇ. ὁ δὲ τοῦ ♃ ἐν τούτῳ τῷ τόπῳ σχηματί-

σας.

* Quando enim tunc in medio cœli aliqua benefica fuerit, proijciens in hunc locum, ſecundùm triangulum radios: ad agendum ſit idonea.

⊕ Si verò petitur triangulo aſpectu à benefica, ſignificat, ipſam à viro divite ornatam, non autem liberam factam eſſe.

♣ Etiamſi non aſpexerint eum beneficæ, magna mala non adducit, niſi fuerit præter conditionem. Similiter neq; Saturnus ibi ſecundum conditionem repertus. Quoniam gaudent mali in locis malis. Si igitur præter conditionem ibi repertæ fuerint maleficæ, propria (inquit) mala loci eius perficiunt, nempe læſiones & ſeditiones à mulieribus.

SEPTIMUM ab Aſcendente ſignificat nuptiarum procuratorem, & longinquas peregrinationes, ac mortis † genus. Vocatur oppoſitum aſcendentis. Eſt & cardo occidentis, ſenilem ætatem denotans. In hoc loco interdiu quidem Saturnus gaudet, ſi in proprio ſit ſigno, aut triangulo, aut exaltatione. Faciet enim homines longæ vitæ, ſublimis fortunæ, quorum memoria longa relinquitur, locupletes. Non autem expertes affectionum in locis corporis occultis: ſed interdum ani morbis affligit, interdum hæmorrhoicos aut ſanguinis fluxu laborantes efficit, interdum dyſentericis aut cœliacis malis involvit. Atq; has malorum impreſſiones magis augebit, ſi in peregrinis ſignis fuerit conſtitutus. Stella Martis hunc locum obtinens, multorum * malorum cauſſa exiſtit, interdum vitiis corporis, interdum morbis affligens: & in ſumma egenos, aut in peregrina terra degentes, aut peregrinatores efficit. Nonnunquam & brevi victuros, aut violenta ⊕ morte perituros oſtendit: quando Solem vel Lunam aſpiciet, aut Lunam applicantem excipiet, ſiquidem extra beneficorum radios repertus fuerit. Iupiter hunc locum obti-

σας, καὶ τὴν τῶν χρόνων πρόβασιν εὐπερικτήτους ποιήσει. ὀψὶ τυχὸν γάρ ἐστι τὸ κέντρον τοῦδε· διὸ καὶ τὰς προκοπὰς ὀψὲ τοῦ χρόνου χαρίζεται. ποιήσει δὲ καὶ εὐγαμίαν· πλὴν, σπανοτέκνους καὶ λυπουμένους ἐπὶ γυναιξὶ καὶ τέκνοις ἀποτελεῖ. ἡ δὲ ♀ τὸ δυτικὸν κέντρον ἐπέχουσα, νεωτερίζοντας ποιήσει, τὸ γῆρας ἄμοχθον δείκνυσι, καὶ εὐθάνατον ποιήσει. ὁ δὲ τοῦ ☿, φρονίμους καὶ γραμμάτων ἐμπείρους ποιήσει· πλὴν πάθεσι ψυχικοῖς περιτρεπομένους. ὁ δὲ ☉ ἐν τῷ δυτικῷ κέντρῳ τετευχὼς, λαμπροβίους καὶ περιφανῶν πατέρων τοὺς γεννηθέντας δείκνυσιν· ἐπάνπερ ἐν ἀρσενικῷ ζωδίῳ τύχῃ, καὶ ἐκτὸς τῆς τῶν κακοποιῶν ἀκτῖνος εὑρεθῇ, ἡμερινῆς οὔσης τῆς γενέσεως. ἡ δὲ ☾ τὸ ζ ἀπὸ ὡροσκόπου λαχοῦσα, ξενιτείας ποιήσει. ἐὰν ᾖ ἐν παρύγροις ζωδίοις εὑρεθῇ, ναυκλήρους, ἢ κυβερνήτας, ἢ ναύτας, ἢ ἐμπορικὸν βίον διάγοντας, πολυπλάνους, καὶ ἐν ὑψηλοταπεινώμασι τὴν τύχην ἔχοντας, τελευτήσει.

† Καὶ τέλη ζωῆς. καὶ περὶ ἐκθέσεως καὶ κυήσεως, καὶ ἕτερα πλείονα· πρὸς τὸν ἐπικρατοῦντα τοῦ τόπου ἀστέρα. ποιεῖ δὲ τὰ ἀγαθὰ, περὶ τὴν παρακμαστικὴν ἡλικίαν.

* Καὶ μάλιστα, εἰ ἐκτὸς ὑπάρχει τῆς τῶν ἀγαθῶν ἀστέρων συνεπιμαρτυρήσεως. οἷον ὅταν ὁ ♂. σχηματίσῃ τὸν ☉ ἢ τὴν ☾, ἢ τὴν τῆς ☾ συναφὴν ὑποδέξηται· τηνικαῦτα πάθεσι πολυτρόποις βάλλει. εἰ δὲ καὶ χωρὶς τῆς τῶν ἀγαθῶν ἀκτινοβολίας· τηνικαῦτα καὶ ὀλιγοχρονίους καὶ βιαιοθανάτους ποιεῖ. λοιπὸν τὸ ποῖον θανάτου ἐκ τῶν ζωδίων γνώσεις. εἰ μὲν γὰρ ἐν ὑγροῖς, οἷον ♒ ἢ ♓, ὕδασι πνιγήσεται· εἰ δὲ θερμῷ, οἷον ♌, διὰ πυρὸς· εἰ δὲ ἐν ὅπλοις ζωδιόις, οἷον ♐ καὶ ♏, διὰ ξίφους· εἰ δὲ θηριώδεσιν, οἷον ♑ ♌, ♉. ὑπὸ θηρίων. οὐ μόνον δὲ ταῦτα ποιεῖ, ἀλλὰ καὶ πενιχροὺς, καὶ ἀστάτους, καὶ ξενιτεύοντας ἀποδείκνυσιν.

Φ Ἄει γὰρ ὁ ♂ μετὰ τοῦ ☉ ἢ τῆς ☾ εὑρισκόμενος, κακὰ ποιεῖ μεγάλα.

Τὸ

nens, temporum progreſſu locupletes faciet. Serus enim aut veſpertinus eſt cardo domicilij huius, ideò & felicitates ſerò largitur. Conciliat etiã felices nuptias, ſed dat paucos liberos, et in luctũ conijcit ob mulieres & liberos. Venus occidentis cardinem obtinens, mores & naturam iuvenum imitari facit: ſenectutem dat labore & moleſtia carentem, & placida morte extinguit. Mercurius ſapientes & literatos faciet, ſed affectionibus animi obnoxios. Sol in cardine occidentis cõſtitutus, ſignificat natos ſplendidos & divites, & quorum parentes ſunt illuſtres: ſiquidem in maſculino ſigno fuerit, & extra radium maleficorum, in diurna genitura. Luna in ſeptimo ab aſcendente loco, peregrinationes afferet. Si verò in aqueis ſignis reperiatur, dominos aut gubernatores navium, aut nautas efficit, vel qui mercatoriam vitam agant, & qui multùm ac longè peregrinentur, & fortunam in alto ac lubrico caſu poſitam habeant.

† Et exitus vitæ. Significat verò & de expoſitione nati, & de partu, & alia multa, ſecundum ſtellam, quæ huic loco dominatur. Bona adfert circa tempus, quod florem ætatis aut conſtantem ætatem ſequitur.

* Et vel maximè, ſi nulla beneficorum teſtimonia habuerit. Vt, Mars configuratus Soli aut Lunæ, aut applicantem ſibi Lunam excipiens, malis variis affligit. Si verò etiam ſine radio beneficorum fuerit, brevem vitam & mortem violentam nato adfert. Genus autem mortis ex ſignis cognoſces. Si enim in humidis, ut ♒ & ♓, in aqua ſuffocabitur: Si in calido, ut ♌, per ignem peribit: Si in armatis ſignis, ut ♐ & ♏, per enſem: ſi in ferinis, ut ♑, ♌, ♉, à feris. Non ſolùm aut hæc efficit, ſed etiam pauperes ſignificat, & vagos atq; peregrinantes

⊕ Semper enim Mars cum Sole aut Luna inventus, mala magna adducit.

OCTA-

Τὸ δὲ η ἀπὸ ὡροσκόπου, καλεῖται ἀργὸν, ὅτι ἀπόστροφόν ἐστι καὶ ἀσύνδετον τοῦ ὡροσκοποῦντος ζωδίου. χρηματίζει καὶ ἐπὶ καταφορᾷ τοῦ δύοντος. σημαίνει δὲ, τὴν τοῦ θανάτου τελευτήν. δύσπρακτος δὲ ὁ τόπος οὗτος καθέστηκε. καὶ οἱ μὲν ἀγαθοποιοὶ ἐπὶ τούτου τοῦ τόπου τυχόντες, ἀπὸ θανάτων ὠφέλειαν ποιοῦσι: κληρονομίας γὰρ διδόασι, καὶ ἀπὸ θανατικῶν προφάσεων ὠφελουμένους δεικνύουσιν. οὐ μόνον δὲ οἱ ἀγαθοποιοὶ ἐπὶ τούτου τοῦ τόπου τυχόντες, ὠφελείας ποιοῦσιν, ἀπὸ θανάτων: ἀλλὰ καὶ ἡ σελήνη τοῖς ἀριθμοῖς προστιθεῖσα, καὶ αὐξιφωτοῦσα, ἐπειδήπερ τὴν ἀπὸ συνόδου φορὰν ποιουμένη, ἐν τούτῳ τῷ τόπῳ κατὰ τὸν † ἐμφανῆ κόσμον θεωρεῖται. διὸ καὶ τὰς ἀπὸ θανάτων ὠφελείας δηλοῖ, καὶ κληρονομίας παρέχεται, μάλιστα βορεία ἀνερχομένη. ὁ δὲ ☉ ἐπὶ τούτου τοῦ τόπου τυχὼν, πατρὸς ἔκπτωσιν, ἢ σίνος, ἢ πάθος, ἢ περὶ τελευτὴν δείκνυσιν: ἐν δὲ τοῖς ἄλλοις πράγμασιν, ἀργότερος ἔσται. λειψίφωτος δὲ ἡ ☾ ἐπὶ τούτου τοῦ τόπου τυγχάνουσα, καὶ ἐκτὸς τῶν ἀγαθοποιῶν ἀκτῖνος τετευχυῖα, πένητας, ἀθλίους, δυσπερικτήτους τε καὶ ἐμπαθεῖς ποιήσει. οἱ δὲ κακοποιοὶ παρὰ τὴν αἵρεσιν ἐκεῖσε τυχόντες, ἔκπτωσιν βίου, καὶ καθαίρεσιν πραγμάτων, καὶ ἀποβολὰς, καὶ περιστάσεις οὐ τὰς τυχούσας ἐπιφέρουσιν: ὁτὲ δὲ, καὶ κακοθανασίας παραίτιοι γίνονται. ἡ δὲ ♀ ἐν τούτῳ τῷ τόπῳ τυχοῦσα, ἀργότερα τὰ τῶν γάμων ποιήσει: καὶ ὁτὲ μὲν παιδεραστὰς: ὁτὲ δὲ ἐμπαθεῖς, καὶ ἀσελγεῖς ἐπιδείκνυσιν. ὁ δὲ τοῦ ☿ ἐπὶ τοῦδε τοῦ τόπου τυχὼν, φιλησύχους, σιγηροὺς, ἐνδομύχους: ὁτὲ δὲ, κλέπτας ἢ πλαστογράφους ποιεῖ. μωροὺς δὲ, ἢ καὶ διανοήτους, ἢ ἀέργους ποιήσει: ἐπὰν πάντως ὑπὸ τὰς ἡλιωτίδας αὐγὰς τύχῃ, ἢ ὑπὸ ♄, κατὰ συμπαρουσίαν, ἢ τετράγωνον, ἢ διάμετρον στάσιν θεωρηθῇ, πλείονας αὐτοῦ μοι. ἐπέχων.

† Ἤγουν ἄρχεται ἤδη φαίνεσθαι νέα.

Τὸ δὲ θ ἀπὸ τοῦ ὡροσκόπου, σημαίνει τὸν περὶ θεῶν λόγον, καὶ ὀνείρων καὶ ξενιτείας. ἔτι δὲ καὶ ἀστρονομικὸν, καὶ περιμεσουράνη-

μα,

OCTAVUM ab aſcendente vocatur ocioſum, quoniam auerſum eſt, à ſigno Aſcendentis, eiq́ haud coniunctum. Locus eſt, per quem pars mundi occidens deſcendit. Significat terminum mortis: eſtq́ infelix hic locus. Benefici in eo conſtituti, ex morte dant lucrum: Etenim hæreditates donant, & defunctorum occaſione iuvant. Non ſolùm autem benefici hîc reperti, utilitates adferunt è mortibus: ſed etiam Luna numero vel motu aucta, & lumine creſcens, quando à coniunctione Solis digrediens, in hoc loco † ſupra terram conſpicitur. Ideo & ex mortibus utilitates ſignificat, & hæreditates largitur, maximè ſi ſit borealis aſcendens. Sol in hoc loco patris caſum adverſum, aut vitium aliquod corporis, aut morbum, aut obitum priorem denotat: in aliis efficiendis erit ignavior. Minuta verò lumine Luna, & extra radium beneficorum in hoc loco conſtituta, pauperes, miſeros, egenos & perturbationibus obnoxios reddet. Malefici præter conditionem ibi reperti, detrimentum rei familiaris, fruſtrationes negotiorum, & iacturas atq́ clades afferunt non exiguas: nonnunquam & infelicis mortis autores ſunt. Venus hunc locum occupans, ignaviora omnia reddit, quæ ad nuptias pertinent: Et interdum amatores puerorum, aliquando amore furentes & flagitioſè laſcivos indicat. Sed Mercurius in hoc loco efficit amantes tranquillitatis, taciturnos, domi abditos: interdum fures aut falſarios. Fatuos gignet vel inſipientes vel inertes, quando ſub ſplendore ſolis fuerit: aut ſub Saturno, in huius coniunctione, quadrato, aut oppoſito, ita ut plures, quàm ipſe, partes obtineat.

† Cùm videlicet iam incipit apparere nova.

NONUM ab aſcendente ſignificat ea, quæ de Diis & ſomniis atq́ peregrinatione prædicuntur. Eſt verò & aſtronomi-

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

μα, εἰ ἀπὸ δύσεως ἐπὶ ἀνατολὴν βαίνει τις. ἡλίου καλούμενον τόπος. ἐν γὰρ τούτῳ τῷ ζῳδίῳ, μόνος ὁ ☉ χαίρει. καλεῖται δὲ, ἀπόκλιμα ἀγαθόν. ἐν δὲ τούτῳ τῷ τόπῳ, ὁ ☉, ἢ ὁ ♄, ἢ ὁ ♃, ἢ ὁ τοῦ ☿ κεχρηματικότες, τὰς ἀπὸ θεῶν καὶ βασιλέων χάριτας, ἢ δωρεὰς, ἢ εὐεργεσίας χαρίζεται. ποιοῦσι δὲ, καὶ εὐχρηματίστους. ὁτὲ δὲ καὶ ἐν ἱεροῖς, τάξιν παρέχουσιν, ἢ προστάτας ἱερῶν ἀποτελοῦσι. καὶ γὰρ δὴ δωρεὰς βασιλικὰς διδόασι: πλὴν ξενιτεύοντας ἀποδεικνύουσιν. ὁ δὲ ☉ σὺν † τῷ τοῦ ☿ ἀστέρι ἐκεῖσε χρηματίσας, μάντεις καὶ ὀνειροκρίτας, ἀστρολόγους, οἰωνοσκόπους, καὶ τὸ παράπαν, μυστηρίων μετέχοντας, ἀποτελοῦσι. ποιεῖ δὲ καὶ ἡ σελήνη ξενιτεύοντας, ἐκεῖσε παρατυχοῦσα, καὶ ἑνὶ τῶν κακοποιῶν, ἢ τῷ τοῦ ἑρμοῦ ἀστέρι τὴν συναφὴν ποιουμένη.

† Εἰ δὲ ἐπὶ νυκτερινῆς γενέσεως ἐκεῖσε εὑρεθεῖ ὁ ☉, ἅμα τῷ τοῦ ☿, τουτέστιν, ἵνα ὁ μὲν ☿ ᾖ πρὸς τῇ ἀρχῇ τοῦ θ τόπου, ὁ δὲ ☉ ἐν τῷ τέλει τοῦ ζ, ἵνα ᾖ ὑπὸ δύσιν: ἄλλως γὰρ οὐκ ἐγχωρεῖ ταῦτα εἶναι, ἐπὶ νυκτερινῆς γενέσεως: ἀβεβαίους τοῖς ὀνείρασι, καὶ καταψευδομένους, θεοῦ μηδὲν βέβαιον χρηματίζοντας.

Τὸ δὲ δέκατον ἀπὸ ὡροσκόπου, καλεῖται μεσουράνημα, καὶ διμοιρία τῆς ἄνω μερίδος. κέντρον νότιον * ὑπάρχον, καὶ ἀπὸ μέσης ἡλικίας τὰς ἐνεργείας ἐνδεικνύμενον. σημαίνει δὲ τὸν περὶ πράξεως, καὶ δόξης, καὶ ἀξιώματος, καὶ συστάσεως, καὶ προεδρείας, καὶ πατρίδος καὶ διαμονῆς λόγον. γάμου δὲ καὶ τέκνων ἀρσενικῶν δηλωτικὸν καθέστηκεν. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ ☉ τυχὼν, ἀρχικοὺς καὶ ἐπιδόξους καὶ ἐμπράκτους καὶ περιφανεῖς ἄνδρας ἀποδείκνυσι: ἐπάνπερ ἀλλότριος τῆς τῶν κακοποιῶν ἀκτῖνος εὑρεθῇ. ποιεῖ δὲ καὶ πατρὸς ἐπισήμου τοὺς γεννωμένους. ἡ δὲ ☽, ἐπὶ νυκτερινῶν γενέσεων τὸν τόπον τοῦτον ἐπέχουσα, διασήμους, πλουσίους, φορολόγους βασιλέων, ἢ διοικητὰς πόλεων ποιήσει: ἐπάνπερ ὑπὸ τοῦ ♄ ἢ τοῦ ♂ μὴ θεωρηθῇ, ἤ τοι κατὰ συμπαρουσίαν ἢ τετράγωνον, ἢ διάμετρον στάσιν: τάς τε μητέρας τῶν

τοιούτων

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

cum, & medium cæli antecedit, ſi ab occaſu verſus ortum quis progrediatur. Vocatur locus Solis. In hoc enim ſigno Sol tantùm gaudet. Dicitur etiam cadens fortunatum. Sol, Saturnus, Iupiter aut Mercurius in hoc loco conſtituti, à Dijs & regibus gratias, dona vel beneficia conciliant: faciunt & opulentos. Interdum in ſacrum ordinem cooptant, aut præſides ſacrorum efficiunt. Dant enim regalia dona: ſed peregrinantes ſignificant. Sol † autem cum Mercurio ibi conſiſtens, vates & ſomniorum interpretes, aſtrologos, aruſpices, & omninò arcanorum conſcios facit. Luna etiam cauſſa eſt peregrinationis, ſi cum illis coniungatur, & uni maleficorum aut Mercurio applicetur.

† Quòd ſi in nocturna geneſi ibi reperiatur Sol, ſimul cum Mercurio, hoc eſt, ut Mercurius ſit in initio 8 loci, Sol verò in fine 7, ut ſit ſub occidente, (aliter enim hæc eſſe non contingit, in nocturna geneſi) ambiguos in ſomniis & mendaces, & de Deo nihil certi ſtatuentes efficit.

Decimum ab Aſcendente vocatur medium cæli, & bipartitio portionis cæli ſuperioris. Eſtq́ cardo * auſtralis: & quæ à media ætate fiunt, ſignificat. Hinc verò & ea ſumuntur, quæ de actione nati, de gloria, Magiſtratu, commendatione, loci dignitate, patria & permanſione prædici ſolent. Nuptiarum quoq́ & liberorum maſculorum ſignificationem facit. In hoc loco Sol viros oſtendit ad principatum propenſos, celebres, ſtrenuos & illuſtres, ſi liber ſit à maleficorum radio: facit etiam naſci patre inſigni ac nobili. Luna in genituris nocturnis hunc locum obtinens, præclaros, divites, vectigalia regum colligentes, aut præſides urbium efficiet: ſi Saturnus vel Mars, corpore, aut radio quadrato vel oppoſito, ei non fuerit coniunctus: & matres talium nobil

* * Legendum puto: καὶ νομέων, ἐγγέων, καὶ θεμελίων.

τοιούτων εὐγενεῖς εὑρήσεις. ὁ δὲ ♄ τὸν τόπον τοῦτον ἐπέχων, ἐπὶ τῶν ἡμερινῶν γενέσεων, καὶ ἐν οἷς χαίρει ζωδίοις παρατυγχάνων, ἐπὶ παρέργων πράξεων τὰς ἀσχολίας ποιήσει: εὐκλήμονάς τε καὶ φιλογεωργοὺς, γαιούχων τε * γενομένων ἐγγέων, καὶ ἐκ θεμελίων * κλήτορας ἀποδείκνυσιν. ἐπὶ δὲ τῶν νυκτερινῶν γενέσεων τὸν τόπον τοῦτον ἐπέχων, ἐν παρέργοις μὲν τὰς πράξεις ἀποτελεῖ: δυσπράκτους δὲ καὶ δυσπερικτήτους καὶ ἀπροσκόπους, καὶ ἀδρανεῖς, καὶ δυσγάμους, καὶ σπανοτέκνους, καὶ πένητας ἀποτελεῖ: ὅτε δὲ, καὶ πολυχρόνιον ξενιτεύοντας, ἢ ἐκτὸς τῆς ἰδίας πόλεως οἰκοῦντας, καὶ πλανωμένους ἐπὶ πολὺν χρόνον ποιήσει. ὁ δὲ τοῦ ♃, ἡμέρας μὲν ἐκεῖσε παρατυχὼν, ἐπάνω προσθετικὸς τοῖς ἀριθμοῖς ᾖ, καὶ ἐκτὸς τῆς τοῦ ♂ ἀκτῖνος εὑρεθῇ: μεγαλοβίους, μεγαλοπρεπεῖς, λαμπροφανεῖς, πράγματα βασιλέων ἢ μεγιστάνων πιστευομένους τε καὶ πολυγνώστους, μεγαλοφίλους καὶ πρακτικοὺς ἀποδείκνυσιν: οὐκ ἐπὶ τοσοῦτον δὲ καὶ εὐδαιμονοῦντας, οὐδὲ ἀκουομένους, οὐδὲ μὴν ἐν ταῖς πράξεσι διευημεροῦντας ποιήσει. ὁ δὲ τοῦ ♂ τὸν κατὰ κορυφὴν κέντρον ἐπέχων, λέγω δὴ, τὸν μεσουρανοῦντα τόπον, ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων, τοὺς μὲν γονεῖς ἀπ' ἀλλήλων διαστήσει: τοὺς δὲ τοιούτους περιτρέπει, πενίᾳ καὶ στενότητι βίου, τὸν πάντα βίον χρωμένους διατελοῦντας: τοὺς δὲ καὶ ἀβίους καὶ ἀγάμους, ἐπὶ τῆς νεότητος ἀποδείκνυσιν. ὅτε δὲ καὶ βιαιοθανάτους ποιήσει: ἐπάνω ἐκτὸς τῆς τῶν ἀγαθοποιῶν ἀκτῖνος εὑρεθῇ. εἰ γὰρ ὁ τοῦ ♃ καὶ τῆς ♀ τούτῳ συσχηματισθῶσι, καλὸν τὸ γῆρας ἕξουσι, καὶ τὸν τῆς βιαιοθανασίας κίνδυνον ἐκφεύξονται. ἐπὰν δὲ ἐπὶ ἀρσενικῶν ζωδίων, εἴτε ἡμερινῶν εἴτε νυκτερινῶν, ὁ ἀστὴρ οὗτος ἐπὶ τοῦ μεσουρανήματος χρηματίσῃ, κατὰ τὴν ἀρρενικὴν γονὴν σπανότεκνον ποιήσει. ὁ δὲ τῆς ♀ ἑσπερίας ἀνατολῆς ⊛ μεσουρανήσας, δίχα τῆς τῶν κακοποιῶν ἐπιθεωρίας, λαμπροβίους ἀρχιερεῖς, εὐτυχεῖς νεωκορεῖς, βουλευτὰς, πρυτάνεις, στεφανοφόρους διασήμους ποιήσει: εὐγαμίας τε καὶ εὐτεκνίας αἴτιος γίνεται: ἔτι δὲ καὶ ὑπὸ ὄχλων εὐφημουμένους, καὶ δημοχαρεῖς, καὶ πρειωνύμους

genere natas reperies. Saturnus occupans hunc locum, in diurnis genituris, & ſimul in ſignis conſtitutus, in quib. gaudet, negociationes dabit in aquis: et locupletes, agriculturaq́; ſtudioſos, et eorũ qui terras tenent, paſtorumq́;, et rerũ quæ in terra continentur, atq; ædificiorũ poſſeſſores demonſtrat. Sed in genituris nocturnis hunc locum tenens, in humidis quidem occupatos ſignificat: ſed in opere infelices, & egenos, & nihil proficiẽtes, et infirmos, & infelices in nuptijs., ac paucos gigentes liberos, pauperesq́; efficit: nonnunquam & qui diu peregrinentur, aut extra propriam urbem habitent, & vagentur longo tempore. Iupiter interdiu ſic repertus, ſi motu velox ſit, aut à Martis radio liber: illuſtres vita, magnificos, præclaros, negotia regum aut primatum ſua fide adminiſtrantes, & multis cognitos, præſtantes amicos habentes, & in agendo efficaces deſignat. Non tamen perinde felices eos reddet, neq; quibus alij facilè obtemperent, neq; quibus actiones omnes ex ſententia ſuccedant. Mars cardinem verticalem tenens aut locum medij cæli, in genituris diurnis, inter parentes diſsidia faciet. Natos autem ita exercet, ut in paupertate & victus inopia vitam omnem tranſigant: alios victus & nuptiarum expertes in iuventute reddit: interdum & violentæ morti obnoxios, ubi nullus beneficorum, radios ad eum emiſerit. Si enim Iupiter & Venus ei configurentur, ſenectutem habebunt præclarã, & periculum violentæ mortis effugient. Quòd ſi in maſculinis ſignis, ſive nocturnæ ſint genituræ ſive diurnæ, hæc ſtella medium cœli occupaverit, maſculam prolem raram dabit. Stella Veneris in veſpertino ⊛ ortu ſuo medium cæli tenens, à maleficorum obtutu libera, ſplendidam vitam agentes ſummos ſacerdotes, felices templorum rerumq́; ſacrarum curatores, ſenatores, præfectos, corona ob virtutem donatos & illuſtres faciet: cauſſa etiam exiſtit felicitatis nuptiarum liberorumq́;: inſuper à vulgo publicè celebratos, populoq́; gratos, & nomine valdè

νόμους ἀποδείκνυσιν. ἐπὶ δὲ ἑώας ἀνατολῆς χρηματίσας, ἐναλλοιοῖ τὴν τῶν προειρημένων τάξιν, καὶ εἰς τὸ ἐναντίον μεταβάλλει· καὶ ὁτὲ μὲν φιλοτέχνους· ὁτὲ δὲ οἰκτροβίους ἀποδείκνυσι· πλὴν ἀστείων, ὡς ἐπὶ τὸ πλεῖστον, καὶ καθαρείων ἔργων ἐμπείρους. ὁτὲ δὲ καὶ μουσικοὺς ἢ διὰ φωνῆς ζῶντας, ἀποτελεῖ. ὁ δὲ τοῦ ☿ τὸν κατὰ κορυφὴν τόπον ἐπέχων, ἀπὸ λόγων, ἢ ἐπιστήμης, ἢ γραμμάτων, ἢ προφορῶν λόγων διαζῶντας ποιήσει· ὁτὲ δὲ καὶ ἐκσκέπτορας, ἢ * σκρινιαρίους, * ἢ ἀντιγραφέας, ἢ νοταρίους, ἢ δικολόγους, ἢ συνηγόρους, ἢ νομικοὺς, ἢ ἑρμηνέας, ἢ τραπεζίτας ἀποδείκνυσι. Τοῦ δὲ ♂ συσχηματισθέντος, ἤτοι κατὰ συμπαρουσίαν ἢ τετράγωνον ἢ διάμετρον, ψεύστας, ἀθέους, ἀσεβεῖς, ἱεροσύλους, τὸ θεῖον ἀφαιροῦντας· προσεπιλούτοις, ἢ φαρμάκους, ἢ φαρμάκων συνίστορας, καὶ πλαστογράφους, καὶ τὸ παράπαν, κακωνύμους καὶ περιφύμους, τούτων ἕνεκεν ἐσομένους. ὁτὲ δὲ, καὶ δημίους ἢ δεσμοφύλακας, ἢ μεταλλάρχας, ἢ τελώνας ποιήσει. κακῶν γὰρ ἔργων πάντοτε, καὶ εἰς τὸ κακὸν ἄξονας, ἡ σύγκρασις τοῦ ☿, χωρὶς τῆς τῶν ἀγαθῶν ἐπικουρίας, παρασκευάζει.

* *Lego,* σκρινιαρίους*: ut ſit Latinum uocabulū, ſicut & praecedens.*

* Διὰ τὴν ἔγκλισιν τῆς σφαίρας πάντοτε τὸ ὑπὲρ γῆν μεσουράνημα, πρὸς νότον γίνεται. διὸ καὶ μεσημβρία λέγεται τὸ νότιον, διὰ τὸ περὶ αὐτὸ τὰ μεσουρανήματα γίνεσθαι. καὶ ὁ διὰ τῶν πόλων κύκλος, διὰ τοῦτο μεσημβρινὸς λέγεται. τοῦ δὲ ὑπὲρ γῆν μεσουρανήματος νοτιωτέρου γινομένου, ἀνάγκη, τὸ ὑπὸ γῆν κέντρον βορειότερον γίνεσθαι. διὸ καὶ βόριον κέντρον ἐν τῷ τετάρτῳ τοῦτο ὠνόμασεν.

⊗ Ἔχων φάσιν ἑσπερίαν. φθάνει γὰρ καὶ οὗτος εἰς μεσουράνημα, μὴ μοι. τὴν μεγίστην ἀπόστασιν, ἀπὸ τοῦ ☉ ἀφιστάμενος. ἐν τισὶ γὰρ χρόνοις περὶ τὸ νότιον, τὸ μεσουράνημα οὐκ ἀπέχει τοῦ ὁρίζοντος, γ μοι.

claros denotat. In matutino autem ortu conſtituta, immutat priorum ſtatum, & in contrarium conuertit. Et aliâs artium amantes, aliâs miſerabilem vitam degentes homines ſignificat: elegantium tamen & mundorum operum plerunq; peritos, interdum & muſicos aut qui canendo ſe ſuſtentent efficit. Mercurij ſtella locum occupans verticalem: ex orationibus, aut ſcientia, aut literis, aut orationum pronunciationibus victum parat. Interdum & ſententiarum iudicialium exceptores, aut ſcriniorum publicorũ cuſtodes, aut ſcribas publicè collectarum per provincias pecuniarum, aut notarios, cauſarum oratores, advocatos, iuriſperitos, interpretes, aut numularios ſignificat. Marte verò illi configurato, ſive corpore, ſive radio quadrato aut oppoſito, mendaces efficit, contemtores Deorum, impios, ſacrilegos, rem divinam auferentes: præterea veneficos, aut venenorum conſcios, & falſarios: & in ſumma tales, qui ob hæc, in exiſtimatione mala & infames futuri ſunt. Interdum & lictores, aut cuſtodes carceris, aut metallicis præfectos, aut publicanos faciet. Malorum enim operum ſemper, & quæ ad malum dirigant, occaſiones præbet commixtio Martis cum Mercurio, ſine beneficorum auxilio.

* *Propter inclinationem ſphæræ ſemper quod ſupra terram eſt cæli medium, ad Auſtrum vergit. Ideo & meridies dicitur, Auſtralis plaga, quòd ante ipſam medietates cæli reperiuntur: & circulus, qui per polos ducitur, ideò nominatur meridianus. Cùm autem medium cæli, quod ſupra terram eſt, auſtralius eſt factum: neceſſe eſt, medium cæli, quod infra terram eſt, in Boream magis declinare. Ideo & Borealem cardinem, in quarto domicilio appellavit.*

⊛ *Exiſtens in apparitione veſpertina. Præcedit enim & hæc verſus medium cæli, 48 partibus, in maxima ſua à Sole diſtantia conſtituta. Quibuſdam enim temporibus, verſus Auſtrum, medium cæli non diſtat ab horizonte 90 partibus.*

VNDE-

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Τὸ δὲ ἑνδέκατον ἀπὸ ὡροσκόπου, ἀγαθὸς δαίμων καλεῖται, τόπος ♃ ὑπάρχων. ἐν δὲ τούτῳ τῷ ζῳδίῳ παρατυχὼν, χαίρει. σημαίνει δὲ, τὸν περὶ συστάσεως καὶ προστασίας λόγον: πρὸς τούτοις δὲ, ἀγαθῶν ἐλπίδων ἐστὶ σημαντικός. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ ☉ τυχὼν, πατρὸς ἐνδόξου καὶ πλουσίου τὸν γεννηθέντα δείκνυσι: καὶ κατὰ τὴν τῶν χρόνων πρόβασιν, εὐδαίμονα καὶ εὐπερίκτητον αὐτὸν ποιήσει. ἡ δὲ ☾ ἐπὶ τούτου τοῦ τόπου τυχοῦσα, καὶ μάλιστα νυκτερινῆς οὔσης τῆς γενέσεως, μητρὸς ἐνδόξου καὶ πλουσίας καὶ εὐπόρου ποιήσει: καὶ τὸν γεννηθέντα, εὔπορον καὶ εὐσχήμονα δείκνυσιν, ἐπὰν τὴν συναφὴν, πρός τινα τῶν ἀγαθῶν ἀστέρων ποιήσηται. ὁ δὲ τοῦ ♄ ἐπὶ τούτου τοῦ τόπου, τῆς αἱρέσεως ὢν, προβαινόντων τῶν χρόνων, τὰ τέλεια κλωμένους ἀποτελεῖ: ἀργοτέρους δὲ ταῖς πράξεσι καὶ ταῖς ἐπιβολαῖς ποιήσει. ὁ δὲ τοῦ ♃ τὸν ια τόπον, εἴτε νυκτὸς εἴτε ἡμέρας ἐπισχὼν, τὸν βίον ἐπαύξει, καὶ ἐν προφανείᾳ καὶ ἐν περικτήσει τίθησι, καὶ ἐπιδόξους ποιήσει, καὶ ἐπικρατεστέρους τῶν ἐχθρῶν, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀσινεῖς καὶ ἀπαθεῖς τοὺς γεννωμένους συντηρήσει. ἐπὶ δὲ νυκτερινῆς γενέσεως ὁ τοῦ ♄ τὸν τόπον τοῦτον ἐπέχων, τῶν προκτηθέντων μετ' αὐτῆς γίνεται: ἐργοπράκτους δὲ καὶ δυσεπιβόλους καὶ δυσπερικτήτους ποιήσει. ὁ δὲ τοῦ ♂ τὸν ια τόπον ἀπὸ ὡροσκόπου ἐπισχὼν, ἐπὶ ἡμερινῆς γενέσεως, ἀπόκλησιν βίου, καὶ ἀποβολὴν πραγμάτων, καὶ τόπων μεταβολὰς καὶ ἀντιπτωμάτων δείκνυσι, καὶ τὸν περὶ τέκνων κακίζει λόγον. ἐπὶ δὲ νυκτερινῶν γενέσεων, πολλῶν ἀγαθῶν ὕπαρξιν ἐπιτελεῖ: κατὰ αἵρεσιν γάρ: καὶ ὑπὸ ὄχλων, τιμῆς καταξιουμένους, καὶ παρ' ὑπερέχουσι γνωστοὺς ποιήσει. ὁ δὲ τῆς ♀ ἐκεῖσε χρηματίσας, εὐγάμους καὶ καλοβίους, εὐκτήτους, καὶ ἀνενδεεῖς τοῦ βίου, καὶ κατὰ τὴν τῶν χρόνων πρόβασιν εὐτυχοῦντας ποιήσει: ἐπὰν ἐκτὸς τῆς τῶν κακοποιῶν ἀκτῖνος, ἀκατόπτευτος τύχῃ. ὁ δὲ τοῦ ☿, εἴτε ἐπὶ ἑῴας, εἴτε ἐπὶ ἑσπερίας ἀνατολῆς, ἐπὶ τούτου τοῦ τόπου τυχὼν: ἀπὸ γραμμάτων διαζῶντας ποιήσει, καὶ τὰς πράξεις ἀφθόνους συντηρήσει, καὶ κατὰ τὴν τῶν χρόνων πρόβασιν, τὸν βίον ἐπαύξοντας ἀποδείκνυσιν:

VNDECIMVM ab Aſcendente, bonus Genius vocatur, eſtq́; locus Iovis. In hoc ſigno præſens ipſe gaudet. Nunciat ea, quæ de commendatione & patrocinio prædicuntur: ac præterea bonas ſpes oſtendit. In hoc loco Sol conſtitutus, è patre illuſtri & divite natum ſignificat, ipſumq́; temporis progreſſu felicem faciet & locupletem. Luna hunc locum ſortita, maximè in geneſi nocturna, matre procreat divite & illuſtri, & rerum omnium copia affluente: ac natum opibus abundantem, & ſpecioſum ac decorum reddit, cùm ſe ad aliquam beneficarum ſtellarum applicaverit. Saturnus in hoc loco ſecundùm conditionem repertus, annorum decurſu integra ſua bona poſſidentes efficiet: ignaviores verò reddet in actionibus & conatibus. Iupiter undecimum locum ſive noctu ſive interdiu obtinens, rem familiarem auget, & in ſplendore ac divitijs collocat, glorioſosq́; faciet, & hoſtibus ſuis ſuperiores, ac ferè à vitijs & morbis natos cuſtodiet. In nocturna genitura Saturno hunc locum tenente, eorum quæ acquiſita ſunt, fit imminutio. Ignavos verò ad agendum, & quorum conatus ſint difficiles, & egenos, efficiet. Mars 11 ab aſcendente locum, in diurna geneſi poßidens, iacturam rei familiaris, & negociorum abiectionem, locorúmque & caſuum adverſorum immutationes monſtrat: & prædictionem de liberis infauſtam reddit. In nocturnis autem genituris bonorum copiam adducit. Eſt enim tunc ſecundum conditionem: & facit, ut nati ſint in honore & precio apud turbā, et noti atq́; familiares potētibus. Venus ibi ſedē habens, felicitatē nuptiarum, et elegantiā vitæ dat, & locupletes efficit, victuq́; non indigentes, et quibus ætatis progreſſu feliciter omnia ſuccedant: ſi quidem à radio maleficorum fuerit libera. Mercurius ſive in matutino ſive veſpertino ortu hunc locum ſortitus, ex literis victū parantes ſignificat, atq́; ut actiones invidia careant, efficiet: utq́; natus rem familiarē paulatim

νυσιν· ὁ τε δὲ, καὶ ἀρετῆς αὐτὸς, καὶ ἐπιστήμης μετέχοντας ἀποτελέσει.

Τὸ δὲ ιβ ἀπὸ ὡροσκόπου καλεῖται κακὸς δαίμων, καὶ προαναφορὰ τοῦ ὡροσκόπου, ♄ τόπος ὑπάρχων. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ τοῦ ♄ ἀστὴρ, ἐπὶ ἡμερινῶν γενέσεων, ἀρσενικὸν ζώδιον ἐπέχων, μόνος χαίρει, καὶ πάντοτε τῶν ἐχθρῶν καθυπερτεροῦντας καὶ καταδυναστεύοντας ποιήσει, καὶ ἐν ταῖς ἰδίαις πράξεσιν ἀσχολοῦντας. ἐπικρατόρας γὰρ, καὶ ἀρχικοὺς, καὶ ἰσχυροπράγμονας, καὶ τυραννικοὺς τοῖς ἤθεσιν ἀποδείκνυσι. σημαίνει δὲ καὶ ὁ τόπος οὗτος καὶ τὸν περὶ παθῶν καὶ τοκετοῦ καὶ ἐχθρῶν καὶ δούλων ἀρσενικῶν καὶ τετραπόδων λόγον. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ ☉ παρατυχὼν, πατέρος ἀποξένωσιν, ἢ ὀρφανίαν δηλοῖ· καὶ τὸν πατέρα κακίζει διὰ πάθους ἢ σίνους, ἢ ἐκ πτώσεως, ἢ ἀπὸ πενίας, ἢ ἀδοξίας, ἢ ἀγεννείας αὐτὸν τὸν πατέρα ἔνοχον διασαφεῖ, καὶ αὐτοὺς δὲ τοὺς γεννηθέντας, ἀνεπιφανεῖς καὶ πένητας καὶ ἀπόρους δείκνυσιν. ἡ δὲ ☾, μητρὸς δούλης, ἢ ἐλαχίστης, ἢ ἀδόξου, ἢ ἐκπτώτου, δηλοῖ. ἐὰν δὲ ὑπὸ κακοποιοῦ ἀστέρος θεωρηθῇ, ἢ πρόσληνα τῶν κακοποιῶν τὴν συναφὴν ποιήσηται· ἐπιπαθεστέραν, σεσινωμένην, ἢ ὀλιγοχρόνιον, τὴν μητέρα δείκνυσιν· αὐτοὺς δὲ πένητας καὶ ἀθλίους, καὶ ἐν ἀτυχίᾳ διὰ παντὸς ἐξεταζομένους ποιήσει. ὁ δὲ τοῦ ♃ τὸν τόπον τοῦτον ἐπισχὼν, ἐχθρῶν ἐπαναστάσεις * καὶ κερολογίας * πρὸς ἐλαχίστους, καὶ τῶν πατρικῶν ἐλάττωσιν ποιήσει. πλὴν, ἐν τῷ περὶ δούλων καὶ τετραπόδων, καλὸς καὶ ἐπωφελὴς, ἐπιτηδειότητα περὶ τοῦτο τὸ μέρος ἔχων. ὁ δὲ τοῦ ♂ ἐπὶ τούτου τοῦ τόπου τυχὼν, τὸν περὶ δούλων καὶ τετραπόδων λόγον κακίζει, καὶ τὰς ὑπὸ δουλικῶν προσώπων ἐνέδρας καὶ αἰτίας παρέχεται. ὁ δὲ τῆς ♀ ἐπὶ τούτου τοῦ τόπου τυχὼν, διὰ γυναικείας προφάσεις λυπουμένους, καὶ πάθεσι ψυχικοῖς περικυλιομένους, τουτέστιν, ἐρωτικοὺς ποιήσει. ἐπιμίσγονται δὲ καὶ δούλαις, ἢ γηραιαῖς, ἢ * ἐγαμελοῖσιν *· οὗ χάριν, ἐν ἀτεκνίᾳ διατελοῦσιν. ἐὰν δὲ ὁ ὑποδεξάμενος τὸν τῆς ♀ ἀστέρα † ἐπίκειτος χρηματίσῃ,

* * περιττολογίας, κενολογίας, κυρολογίας, aut ſimile quid legendum arbitror.

* * Lego, ἐπιμελοῖσιν.

adaugeat : interdum & virtutis ſit cauſa, & ſcientiæ partici-pes faciet.

*D V O D E C I M V M ab Aſcendente vocatur malus Genius, & horoſcopum anteuertens : eſtq; locus Saturni. In hoc enim Saturni ſtella maſculinum ſignum tenens, in genituris diurnis, ſola gaudet. Semper autem efficit, qui ſuperiores ſint ſuis hoſtibus, eosq; ſua potentia opprimant, & qui in proprijs actionibus ſedulò occupentur. Etenim regionum dominos, aliisq; imperantes, & qui fortiter res gerunt, crudelesq; moribus denotat. Significationem etiam facit hic locus, de ægritudinibus, & partu, & inimicis, ſervisq; maſculis, & quadrupedibus. In hoc loco Sol apparens patris peregrinationem aut orbitatē nunciat, eumq; affligit aliquo morbo, vel vitio corporis, aut ruina vel paupertate opprimit : aut patrem contemtum & ignobilem : ipſosq; natos, obſcuros & pauperes atq; inopes fore demonſtrat. Luna ſignificat matrem ſervam, aut infimæ conditionis, aut deſpectam, aut de ſtatu ſuo deiectam. Quando verò ſtellæ maleficæ configurata fuerit, aut ad aliquam maleficarum ſe applicaverit : affectionibus magis obnoxiam, ignotam, aut brevis vitæ matrem futuram oſtendit : ipſos verò natos, pauperes & miſeros atq; omni infelicitate diuexatos efficiet. Iupiter hunc locum obtinens, inimicorum rebelliones, & *   * adverſus inferiores, & eorum, quæ ad patrem ſpectant, diminutionem afferet. Veruntamen ubi de ſervis & quadrupedibus agitur, bonus eſt & utilis, & ad hanc prædictionis partē valē accōmodatus. Mars ſortitus hunc locū infelicia reddit, quæ e ſervis et quadrupedib. præſignificantur, & à ſervilibus perſonis inſidiis atq; cōtroverſias movet. Venus in hoc loco aperta, occaſione mulierum affligit, et perturbationib. animi inuolutos, hoc eſt, in amorē valdè propenſos efficiet : commiſcentur tales & ancillis, aut vetulis, aut ſcortis, quæ de c . . . ſine liberis degunt. Quando verò Saturnus Vener . . excipiens in cardine*

ὕσῃ, δουλοκοίτας, κακογάμους: ὅτε δὲ, καὶ τῶν ἰδίων γυναικῶν παρακοιμιστὰς ποιήσει. ὁ δὲ τοῦ ☿ τὸν τόπον τοῦτον ἐπέχων, κλέπτας, ἀφανιστὰς, κακολόγους, κακοπράγμονας, ἐργολάβους, δολίους, ὑποκριτὰς, ἀποτελέσει: ὅτε δὲ, καὶ γραμματέας, ἢ χαμαιδιδασκάλους, ἢ ἑρμηνέας, ἢ δικολόγους * ποιήσει.

† Ἐὰν γὰρ ἐν τῷ ιβ τόπῳ ἐστὶ ζώδιον, κύριον ἔχον τινα ἀστέρα: οἷον ὁ αἰγόκερως, ἢ ὁ ♒ τὸν ♄, ἢ ᾖ ὁ ♄ ἐπί τινος τῶν δ. κέντρων: ταῦτα ποιεῖ ἡ ♀, εὑρεθεῖσα ἐν αὐτῷ.

* Πρὸς τὴν τῶν λοιπῶν ἀστέρων σχηματογραφίαν, τοῦτο δὲ χρὴ προσυπακούειν ἐπὶ παντὸς ἀστέρος.

Περὶ τέκνων.

Οἱ πάντες γὰρ οὗτοι τόποι, εἰς τὰ τέκνα ἐρρήθησαν συμβάλλεσθαι. Σκοπεῖν οὖν δεήσει, τὸν ε καὶ τὸν ια. ἀπὸ ὡροσκόπου, καὶ τὸν κατὰ κορυφῆς τόπον, καὶ τὸ τούτῳ ἀντικείμενον, ὅ ἐστιν ὑπόγειον: καὶ τὸν κλῆρον τῶν τέκνων. πρὸς τούτοις δὲ καὶ τὸν τοῦ ♃, καὶ τὸν τοῦ τριγώνου δεσπότην, καὶ τὸν τῆς ♀, καὶ τὸν τοῦ ☿. καὶ ἐὰν μὲν εἷς τόπος, ἢ καὶ δύο ἢ καὶ πλείονες, ἀκατόπτευτοι ♄ καὶ ♂ καὶ ☉, καὶ τῶν ἐκλειπτικῶν εὑρεθῶσιν: ἄλυπος ὁ περὶ τέκνων ἔσται λόγος: ἐπὰν δὲ μὴ ἐπὶ τοῦ κακοῦ δαίμονος, ἢ τῆς κακῆς τύχης, ἢ τοῦ ὀγδόου, οἱ κύριοι τῶν προειρημένων τόπων,
** Lego ♀. ἢ [illegible] οἱ λεχθέντες ἀστέρες, εὑρεθῶσι, λέγω δὴ, ♃ * ♂ * καὶ ☿ ἐὰν δὲ οἱ ἀγαθοποιοὶ, ἢ ὁπότερος αὐτῶν, ἐν τοῖς πολυσπέρμοις ζωδίοις εὑρεθῶσιν, τῆς ☾, ἢ τοῦ ὡροσκόπου, ἢ τοῦ τεκνοσπόρου, πολυσπέρμοις ζωδίοις εὑρισκομένων, δίχα τῆς τῶν κακοποιῶν κ[illegible]νος· πολυτεκνίας τὸ σχῆμα δηλωτικὸν γίνεται. ἐὰν οὖν ὁ τοῦ ♃ ἐν τῷ ιβ ἢ ϛ παρείη, ἢ ἑνὸς τῶν κακοποιῶν, σὺν τῷ τῆς ♀ κεντρωθέντος, ἀτεκνίας αἴτιος γίνεται, ⊕ ὁ δὲ τοῦ ♃ τριγωνοκράτωρ, [illegible]ίνας, κακοποιεῖ τὸν τεκνοσπόρον ἐπέχοντος.

*fuerit, concumbentes cum ſervis, & in nuptiis infelices: interdum & qui proprias uxores obſervent & cuſtodiant, facit. Mercurius hunc locum obtinens, fures, deſtructores, maledicos, maleficos, quadruplatores, doloſos, ſimulatores pariet: interdum & ſcribas, aut inferiores doctores, aut interpretes, aut * cauſidicos.*

† *Quando enim in duodecimo loco eſt ſignum, quod dominantem ſibi aliquam ſtellam tenet: ut Sagittarius vel Aquarius Saturnum, & Saturnus in aliquo quatuor cardinum reperitur: tunc facit hæc Venus, in hoc loco conſtituta.*

* *Pro configuratione ad reliquas ſtellas. Hoc enim de qualibet ſtella intelligendum eſt.*

De liberis.

De locis cœli hactenus expoſitis omnibus manifeſtum eſt, ea conferre ad liberorum ſignificationem. Conſiderare verò oportebit, quintum & undecimum ab Aſcendente, & locū verticalem, atq; huic oppoſitum, quod eſt imum cæli, & ſortem liberorum: Præterea & Iovem, atq; trianguli dominum, & Venerem ac Mercurium. Si igitur unus locus aut duo, aut etiam plura libera fuerint à contuitu Saturni, Martis, Solis & nodorum Eclipticorum, fauſta & læta erit, de liberis prædictio: ſi modò non in malo Genio, aut in mala fortuna, aut in octava, domini illorū locorum, aut illæ ipſæ ſtellæ repertæ fuerint, nempè Iupiter, Venus & Mercurius. Cùm autem benefici, vel alter horum, in ſignis fuerint fœcundis, ita ut Luna vel Aſcendens, vel liberorū ſignificator fœcunda etiam ſigna teneant, ſine radio maleficorum: figura illa copioſam prolē ſignificat. Sed cùm Iovis ſtella in duodecimo aut ſexto loco affuerit, aut una maleficarū cū Venere cardinē tenuerit; cauſa fit ſterilitatis. Iupiter ⊕ etiā trianguli dominus, ſi in cadente ſit, et maleficus ſignificatorē liberorū

χονῖος: σπανοτέκνους ποιήσει. ♀ σὺν τῷ τοῦ ☿, αἰγοκέρῳ ἢ ὑδροχόῳ τὸν ε τόπον ἐπέχοντες, δίχα τῆς τοῦ ♃ ἐπικουρίας: ἀτεκνίας αἴτιοι γίνονται, καὶ τὰ περὶ γάμων κακίζουσιν. ♂ μεσουρανήσας ἐν θηλυκῷ ζῳδίῳ, ἐπὶ νυκτερινῆς γενέσεως, σπανοτέκνους ποιήσει: ἐπὶ δὲ ἡμερινῆς, ἐν ἀρσενικῷ ζῳδίῳ μεσουρανήσας, ἀτέκνους ποιήσει, καὶ μάλιστα εἰς τὸν περὶ ἀρσενικῶν τέκνων λόγον. οἱ κακοποιοὶ ἐν τοῖς ἀγαθοδαιμονοῦσι ζῳδίοις, τοῦ ☉ μετὰ ♃ ἀποκεκλικότος: ἀτέκνους ἀποδεικνύουσι. κακοποιοῦ τὸν ε τόπον ἐπέχοντος, τοῦ ἑτέρου μετὰ τοῦ ♃ ἢ τοῦ τῆς ♀ κακῶς πεσόντων: ἀτεκνίας δηλωτικὸν τὸ σχῆμα γίνεται. ☉ μεσουρανοῦντος, ♂ ἢ ♄ τὸν ε τόπον ἐπέχοντος, ἢ ♃, ἢ τῆς ♀ κακῶς πεσούσης: ἀτεκνίας τὸ σχῆμα νοείσθω. ♃ δὲ καὶ ☿ τὰ κάτω κέντρα λαχόντες, ἢ ὁ μὲν δύνων, ὁ δὲ ὡροσκοπῶν: τέκνων ἀρσενικῶν ὄλεθρον δεικνύουσι. ☾ δὲ ἐν ὁρίοις ἢ τόποις ☿ κειμένη, τῆς ♀ ἐπὶ κρονικοῖς ζῳδίοις ἢ ὁρίοις εὑρισκομένης: μονοτέκνους ἢ ἀτέκνους δείκνυσι: τὰς δὲ γυναῖκας, στείρας ἢ μονοτέκνους. ♄ καὶ ☿ ἐπὶ κέντρων τυγχάνοντες, τὸν περὶ τέκνων λυποῦσι λόγον. ♀ καὶ ☾ ὁρίοις ♄ ἢ ζῳδίῳ ὑπάρχουσαι, ἢ τοὺς προειρημένους τόπους ἐναλλάξασαι: ἀτέκνους ποιοῦσιν, ἐάνπερ ♀ ἢ ☾ ὑπὸ ♄ ἢ ♂ καταπλευομένη τυγχάνει. εἰ δὲ μὴ θεωρηθείη τὸ σχῆμα ὑπόλυνος τῶν κακοποιῶν: παντελῶς ὀλιγοτέκνους ποιοῦσι. καὶ ἐπὶ μὲν τοῦ ♈ ♐ καὶ ♊ καὶ ♎ τὰ προειρημένα σχήματα τυγχάνοντα: τὸ σπανότεκνον σημαίνει. ἐπὶ δὲ τοῦ ♉ καὶ ♍ καὶ ♑ καὶ ♌ καὶ ♏: τὸ στερῶδες καὶ παντελῶς ἄτεκνον σκοπείσθω. ἐπὶ δὲ ♋ καὶ ♏ καὶ ♓ τριγώνου: τὸ πολύγονον καὶ πολύτεκνον, καὶ εὐσύλληπτον σημαίνεται, πρὸς τοὺς * ἐπιπαρόντας καὶ μαρτυροῦντας ἀστέρας τοῖς προειρημένοις τόποις.

† Ὅταν τύχῃ, τὸν ♃ ἐν τινι τῶν τριγώνων εἶναι, τῶν διὰ ♈ ♌ ♐. τούτου γὰρ ἡμέρας μὲν ☉, νυκτὸς δὲ ♃. τοῦ διὰ ♉ ♍ ♑

ἡμέρας

*occupet: paucos dat liberos. Venus & Mercurius ſi in Sagittario aut Aquario locum quintum obtineant, ſine Iovis auxilio: fiunt cauſæ ſterilitatis, & quæ ad nuptias pertinent, infelicia reddunt. Mars medium cæli tenens in fœminino ſigno, in nocturna geneſi, liberos paucos donat: in diurna verò, in maſculino ſigno medium cæli occupans, prole omninò carentes efficiet, præſertim quando de maſcula prole quæritur. Malefici in ſignis fortunatis conſtituti, Sole cum Iove cadente ab angulo, ſteriles planè oſtendunt. Maleficorum altero in quinto loco conſtituto, ſi alter reperiatur cum Iove aut Venere malè cadentibus, ſterilitatis ſignificationem figura habet. Sole medium cæli tenente, & Marte aut Saturno locum quintum, aut Iove vel Venere malè cadente: cogitetur, figuram eam nullos polliceri liberos. Iupiter & Mercurius ſi ſubterraneos cardines ſortiantur, aut hic quidem occidat, ille verò oriatur: maſculæ prolis mortem denunciant. Luna in finibus & locis Mercurij poſita, ſi Venus in Saturninis ſignis aut finibus inveniatur: unam prolem aut nullam habituros oſtendit: mulieres autem ſteriles vel unius prolis matres. Saturnus & Mercurius in cardinibus conſtituti, triſtia de liberis præſignificant. Venus & Luna, ſi in finibus aut ſigno ſint Saturni, aut loca hæc permutent, nullos dant liberos: ſi Venerem aut Lunam Saturnus vel Mars aſpexerit. Sin figura hæc nullo malefico aſpectu petita fuerit, pauci prorſus liberi ſignificantur. Et cùm in Ariete, Sagittario, Geminis ac Libra, figuræ illæ extiterint: paucitatem liberorum denotant. In Tauro, virgine, Capricorno, Leone & Aquario, de ſterilitate omninò cogitatio ſuſcipiatur. Sed in Cancri, Scorpij & Piſcium triangulo, multa fœcunditas & proles copioſa ſignificatur, conceptusq́ facilis: ſecundum * ſtellas, quæ in locis illis reperiuntur, & quæ cum ijs teſtimonia ſua coniungunt.*

† *Vbi contigerit, Iovē in aliquo triangulorū eſſe, ut quod per ♈♌♐ ducitur: hoc. n. interdiu Solis eſt, noctu Iovis. Per ♉ ♍♑:*

inter

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ἡμέρας μὲν ♀ ὄντος: νυκτὸς δὲ ☾. τοῦ διὰ ♊ ♎ ♒, ἡμέρας μὲν, ♄: νυκτὸς δὲ ☿. τοῦ διὰ ♋ ♏ καὶ ♓, ἡμέρας μὲν ♀: νυκτὸς δὲ ♂. καὶ εἰ μὲν ἡμερινὴ ἡ γένεσίς ἐστι, τριγωνικὸς δεσπότης αὐτοῦ λέγεται, ὁ ἡμερινὸς τοῦ τριγώνου κύριος. εἰ δὲ νυκτερινὴ, ὁ νυκτερινός. παρακελεύεται οὖν σκοπεῖν, ὁποῖα τὰ τοῦ μεσουρανοῦντος, καὶ τοῦ ὑπογείου ζωδίου, καὶ τὰ ἐπαναφερόμενα αὐτοῖς (ταυτὸν δὲ εἰπεῖν, τὸ τοῦ ἀγαθοῦ δαίμονος, καὶ τὸ τῆς ἀγαθῆς τύχης) πότερον πολύσπερμα, ἢ σπανιόσπερμα. εἶτα σκοπεῖν, ὁποῖοι τῶν ἀστέρων ἐν τούτοις, καὶ ποῖοι σχηματίζουσιν αὐτούς. εἰ μὲν γὰρ ἀγαθοποιοὶ, ♃ δηλονότι ♀, ☾, καὶ ὁ τοῦ ♃ τριγωνικὸς δεσπότης: πολυτεκνίαν δηλοῦσιν. εἰ καὶ ὁ τῶν τέκνων κλῆρος ἐν τούτοις, ἤδε χωρὶς τῆς τῶν ἄλλων ἐπιμαρτυρήσεως: οὐ μόνον τοῦτο, ἀλλὰ καὶ εὐτεκνίαν.

* Πρὸς δὲ τούτοις πᾶσι δεῖ σκοπεῖν τὸν κλῆρον τῶν τέκνων, καὶ τὸν ὡροσκόπον, ἐν ποίοις ζωδίοις εἰσὶν, ἐν πολυσπέρμοις, ἢ ἀσπέρμοις, ἢ ὀλιγοσπέρμοις, καὶ μετὰ ποίων ἀστέρων: καὶ εἰ ἐν τοῖς εἰρημένοις τέσσαρσι τόποις, μᾶλλον ἐπικρατοῦσιν, οἱ δ' ἀγαθοὶ, ♃ ♀ ☿ ☾: ἧττον δὲ οἱ λοιποί. καὶ εἰ ἐν τῷ ε ἀγαθοποιὸς ᾖ, ἢ σχηματίζεται πρὸς αὐτὸν, οὗτος γὰρ τέκνων δηλωτικὸς ἐστὶν, ὅθεν καὶ σπόριμος λέγεται.

Περὶ πράξεως.

Ὁ περὶ ⊗ πράξεως λόγος καταλαμβάνεται, διὰ τὸ ἐν αὐτῇ ὀξὺ, ἐκ τῶν ταχεῖαν τὴν κίνησιν ἐχόντων ἀστέρων: λέγω δὴ, ♂ ♀ καὶ ☿. οὐ μὲν ἀλλ' ὅτι πᾶσα τέχνη τε καὶ ἐπιστήμη, ἐκ τῶν τριῶν τούτων θεωρεῖται ἀστέρων. τόποι δὲ πρός γε τὰς τούτων ἐπιπαρουσίας, ἐπιχρησιμεύουσιν οἵδε: πάντα τὰ κέντρα, καὶ αἱ τούτων ἐπαναφοραὶ, καὶ τὸ ϛ ἀπὸ ὡροσκόπου: προκρινομένου μέν γε ἐν τοῖς κέντροις, τοῦ μεσουρανοῦντος ζωδίου: ἐν δὲ ταῖς ἐπαναφοραῖς, τοῦ β ἀπὸ ὡροσκόπου. ζητεῖν οὖν προσήκει, τίς αὐτῶν τῶν ἀστέρων

τὴν

interdiu Veneris eſt, noctu Lunæ. Per ♊ ♎ ♒: interdiu Saturni, noctu Mercurij. Per ♋ ♏ ♓: interdiu Veneris eſt, noctu Martis. Et ſi diurna genitura eſt, trigonalis eius dominus dicitur, qui diurnus trianguli dominus eſt: Si verò nocturna, qui nocturnus. Iubet ergo conſiderare, cuiuſmodi ſigna ſint, medium & imum cæli, & his ſuccedentia loca. (Idem verò eſt, ac ſi dicatur, boni Genij, & bonæ fortunæ ſigna) utrum multorum, an paucorum ſint liberorum. Deindè, cuiuſmodi ſtellæ in his reperiantur: & quæ cum ipſis configurentur. Etenim benefici, Iupiter ſcilicet, Venus, Luna: & Iupiter trigonalis dominus: multos liberos ſignificant. Si verò & pars liberorum in his locis reperiatur, etiamſi ſine aliorum ſit teſtimonio; non ſolùm hoc, ſed & felicitas liberorum denunciatur.

* *Præter hæc omnia oportet conſiderare ſortem liberorum & Aſcendens, in cuiuſmodi ſignis reperiantur, multæné prolis, an nullius, an raræ: & cum quibus ſint ſtellis: & utrum in quatuor locis dictis, magis dominentur quatuor boni, ♃ ♀ ☿ ☽: minus verò cæteri: & utrum in quinto loco beneficus ſit, aut cum ipſo configuretur. Hic enim liberorum ſignificator eſt, unde & ſator dicitur.*

De actione vel opificio nati.

Prædictio de actione ⊗ nati, propterea quòd actio celer et expedita eſſe debet, ſumitur ex ſtellis velocē motum habentibus, nempè Marte, Venere & Mercurio: quin etiam, quod omnis artis & ſcientiæ conſideratio ex his tribus ſtellis petitur. Loca verò, quæ ad præſentes illas ſtellas utilitatis aliquid adiungūt, ſunt hæc: omnes cardines, & his loca ſuccedentia, & ſextus ab Aſcendente: ita ut inter cardines præcipuum ſit ſignum medij cæli, inter ſuccedentia verò ſignum ſecundi loci ab Aſcendente. Quærere itaq; convenit, quæ ſtellarum

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

τὴν συναφὴν τοῦ ☉ ἢ τῆς ☾ ὑποδέδεκται. ὃς * γὰρ ἂν τούτων τῶν ἀστέρων ἕνα λόγον ἔχων πρὸς τὰ εἰρημένα, ἔτι καὶ συναφὴν εὑρεθῇ, ἢ καὶ πλείους: ἐκείνου τοῦ ἀστέρος τὸ οἰκεῖον τῆς ἐνεργείας λαβόντας, χρὴ τὴν πρᾶξιν ἀποφαίνεσθαι. εἰ δὲ μηδεὶς τῶν προειρημένων ἀστέρων, ἐφ' ἑνὸς τῶν δὲ τῶν τόπων ἵσταται, μηδὲ μὴν ἐπὶ τοῦ κλήρου τῆς τύχης: ἄπρακτον τὸν τοιοῦτον τόπον ἐρεῖς.

† Περὶ ποίας πράξεις καὶ τέχνας ἔσται τὸ γεννώμενον. διὸ καὶ σκοπεῖν δεῖ, τίς τῶν γ ἀστέρων, ἐν τοῖς θ τόποις ἐστί: καὶ μᾶλλον, ἐν τῷ ι καὶ τῷ β. ὁ γὰρ ι τοῦ β κυριώτερος. καὶ ἐπὰν εὕρῃς τῶν ἀστέρων τούτων ἕνα, ἔχοντα τοὺς κυριωτέρους τόπους, ἢ καὶ τοὺς ἄλλους: κατὰ τὴν ἐκείνου ποιότητα καὶ ἐνέργειαν, λέγε τὰς πράξεις καὶ τὰς τέχνας.

* Σχόλιον.

Ἡ ἀφροδίτη, τὰς μουσικὰς, οἷον, κιθαριστικὴν, ὀρχηστικὴν, ἀλλὰ καὶ ζωγραφικὴν, καὶ ἐλεφαντουργικὴν, καὶ ποικιλτικὴν, καὶ ὅσαι ταῖς γυναιξὶν ἀνήκει. καὶ εἰ μὲν τοὺς κυριωτέρους ἐπέχει τόπους, τὸ μεσουρανοῦν, καὶ τὸν β: τὰς κυριωτάτας καὶ τιμιωτάτας μελετήσεται. εἰ δὲ τοὺς ἄλλους, τὰς εὐτελεστάτας τούτων, καθ' ὑπόβασιν. εἰ δὲ ☿ εὑρεθῇ πρὸς τοὺς τόπους: τὰς ἀμείνους μεταχειρήσεις, σοφιστὰς, γραμματιστὰς, ἀποδείκνυσι. σημαίνει δὲ καὶ τοῦτο, ὅτε ὁ ἐν ἀποκλίματι ἀγαθοποιὸς, τριγωνίζων ἢ ἀγαθοποιὸν ἢ κέντρον, ἀνασώζει τὴν ἑαυτοῦ δύναμιν: καὶ γίνεται ἐνεργέστερος, εἰ καὶ ἐπίκεντρος ἦν. καὶ ὁ μὲν ἐπίκεντρος, τὸ μέγεθος δίδωσι τῆς ἀγαθοποιΐας: ὁ δὲ ἐν ἀποκλίματι τριγωνίζων, τὴν ποιότητα τοῦ ἀγαθοῦ δίδωσι. τὸ δὲ ὅμοιον γίνεται, ἀλλ' ὡς ἐπὶ ἔλαττον, κἂν ὁ ἕτερος ᾖ κεκεντρωμένος, ἀλλ' ἐπὶ ἀναφορᾶς. ἐνδυναμοῦται γὰρ ὁ ἐν ἀποκλίματι τριγωνιζόμενος ὑπ' αὐτοῦ. ἐὰν δὲ ὁ κεντρωθεὶς κακοποιὸς ὢν, σχηματίσῃ

τὸ

applicantem ſibi Solem aut Lunam exceperit. Quæ enim * *harum, unum ex iis, quæ dicta ſunt, obtinuerit, aut in applicatione reperta fuerit, aut quæ plura etiam habuerit: ex illius ſtellæ proprio opere & effectione, de actione nati pronunciabitur. Sin nulla iſtarum ſtellarum, in aliquo horũ locorum extiterit, neq; etiam in parte fortunæ: illum locum nihil ad actionem conferre dices.*

† *In quibus actionibus & artibus futurum ſit, ut natus occupetur. Quare & conſiderandum eſt, quæ ex tribus ſtellis in novem locis ſit, & præcipuè in 10 & 2. Nam decimus dignior & potentior eſt ſecundo. Et quando inveneris harum ſtellarum unam in locis magis principalibus, aut etiam alias: ſecundum illius naturam & effectionem, pronuncia de actionibus & artibus.*

* SCHOLION.

Venus muſicas actiones decernit, veluti Cithariſticam, ſaltatoriam: etiam pictoriam, & quæ ebur tractat, artemq; acu pingendi & vario colore texendi veſtes, & quæcunq; mulieribus conveniunt. Cumq; loca primaria obtinet, nempè medium cæli & ſecundum, principales maximè & nobiliſſimas actiones ſubminiſtrabit: Sin loca alia, viliſſimas inter has, ſecundũ decrementi rationem. Mercurius in his locis repertus, meliores rerũ aggreſſiones, Rhetores, ſcribas denotat. Significat verò hoc etiã, quando in cadente conſtitutus beneficus, trigonumq; conficiens cum benefico aut cardine, propriam ſuam virtutem retinet, fitq; efficacior, quando in cardine quoq; fuerit. Et quidem qui in cardine eſt, magnitudinem dat beneficij: qui verò in cadente triangulum conformat, qualitatem aut modum boni ſuppeditat. Similiter fit, ſed debilius, cùm alius etiam in cardine repertus fuerit, circa tamen emerſionem. * *Confirmatur enim qui in cadente eſt, quando trigono ab eo aſpicitur. Si verò cardinem tenens, maleficus ſit, & configuretur*

* Ἀναφο-ρὰ etiam dicitur, domicilium ab Horoſcopo ſecundum. Sed Græca mendoſa eſſe apparet.

 cum

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

τὸν ἀποκλίναντα· ἔτι μᾶλλον αὐτὸν ἀμβλύνει, καὶ τὴν ἐνέργειαν τοῦ ἀγαθοποιοῦ ἀμυδροτέραν ποιεῖ.

Ἐν τῷ περὶ πράξεως λόγῳ, κυριώτερος τόπος ἐστὶν, ἐν μὲν τοῖς κέντροις, τὸ μεσουρανοῦν· ἐν δὲ ταῖς ἐπαναφοραῖς, ὁ βίος. ὅστις οὖν τῶν τριῶν ἀστέρων, ♂ ☿ ♀, χρηματίσῃ εἰς τὸν περὶ πράξεως, καὶ ὁ τόπος αὐτῶν συνεργήσει εἰς τὸ μέγεθος τῆς πράξεως. οἷον, ἐν μὲν τῷ μεσουρανήματι, ἢ τῷ βίῳ, ὁ τοῦ ☿ τὰς βελτίους καὶ καθαρὰς παρέχει τέχνας· οἷον, σοφιστικὴν, ῥητορικὴν, γραμματικὴν, διδασκαλικήν. ἐν δὲ τοῖς ὑποδεεστέροις τόποις· λογογράφους, νομικοὺς, χαμαιδιδασκάλους. ὁ δὲ τοῦ ♂ ποιεῖ, ἢ στρατηγοὺς ἐν τοῖς κρείττοσι τόποις, ἢ στρατιώτας, ἢ χρυσοχόους, ἢ κλειδοποιούς. ἡ δὲ ♀ ἐν μὲν τοῖς κρείττοσι τόποις, ποιεῖ ζωγράφους, κιθαριστὰς, ὑφάντας ποικίλων ἱματίων· ἐν δὲ τοῖς χείροσι, ποιεῖ θυμελικοὺς, μίμους, καὶ τὰ τοιαῦτα. ἐὰν δὲ οἱ τρεῖς ἀστέρες ὦσιν ἐν τοῖς πρακτικοῖς τόποις, ♀ ♂ ☿, ἔσται τότε πολύτεχνος· μᾶλλον δὲ ἐμπρέπων ἐν ἐκείνῃ τῇ τέχνῃ, ἧς ὁ χορηγὸς ἀστὴρ τὸν κυριώτερον τόπον ἐπέχει. ὅταν δὲ οἱ θ τόποι χηρεύωσι τῆς τῶν τριῶν ἀστέρων παρουσίας, ♂ ♀ ☿, τότε δεῖ τὸν κλῆρον τῆς τύχης ἐπιβλέπειν, ἵνα ἔχει τῶν τριῶν τούτων ἀστέρων. εἰ δὲ καὶ οὗτος ὁ τόπος μὴ ἔχει ♂ ♀ ☿, ἢ ἐκ τῶν τριῶν ἕνα· τότε τὰ λοιπὰ, οἷον, τὸν τὴν συναφὴν ἔχοντα τῆς ☾, ἢ τοῦ ☉, ἢ τὸν ἑῷον ἀνατολικόν.

Περὶ ἀποκλιμάτων.

Τεσσάρων † κέντρων ὄντων, καὶ τεσσάρων ἐπαναφορῶν, καὶ δ ἀποκλιμάτων, ἰστέον· ὅτι ἔσθ᾽, ὅτε καὶ τὰ ἀποκλίματα χρηματίζει. καὶ ἐνέργειαν οὐ τὴν τυχοῦσαν, περὶ τὸν τῶν ἀποτελεσματικῶν λόγον ποιεῖται· ὅταν τις τῶν ἀστέρων ἐφ᾽ ἑνὸς τῶν κλιμάτων παρατυχὼν, τὰς ἀκτῖνας εἴσω * τριμοιρίας ἐπενέγκῃ, τῷ κατὰ τρίγωνον σχήματι, συμφώνῳ αὐτῷ ὑπάρχοντι, εἴτε κέντρῳ,

εἴτε

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

cum cadente: vehementius eum debilitat, & vim benefici obſcuriorem reddit.

In diſputatione de actione nati, principalis magis locus eſt, inter cardines quidem, medium cæli: inter ſuccedentia vero, vita dicta. Quæcunq; igitur e tribus ſtellis, Marte, Mercurio, Venere, potentior eſt ad ſignificandum de nati actione, eius etiam locus ſimul coniungit operam ſuam ad magnitudinem actionis producendam. Vt in medio cæli vel vita, Mercurius præſtantiores & mundas præbet artes, ut Sophiſticam, Rhetoricam, Grammaticam, peritiam docendi: in locis vero imbecillioribus, ſcriptores orationum, legū peritos, præceptores inferiores. Mars facit aut duces exercitus, in melioribus locis, aut milites, aut aurifices, aut clavium fabricatores. Venus in melioribus locis facit pictores, Cithariſtas, textores variatarum & precioſarum veſtium: in deterioribus, facit tibicines, mimos & ſimiles. Quando hæ tres ſtellæ omnes fuerint in locis, actionis ſignificationem habentibus: natus erit gnarus multarum artium: magis vero excellens in ea arte, cuius autor ſtella principalem magis locum obtinet. Sed quando novem loca carent præſentia trium ſtellarum: tunc oportet aſpicere ſortem fortunæ, quam ex tribus hiſce ſtellis teneat. Quòd ſi nec hic locus Martem, Venerem, Mercuriū habeat, aut ex his tribus unum: reliqua conſideranda ſunt, nempè, qui Planeta applicantem Lunam aut Solem excipiat, aut qui ſit matutinus orientalis.

De cadentibus domiciliis.

*Cum † quatuor ſint cardines, & quatuor loca ſuccedentia, & quatuor cadentia: ſciendum eſt, contingere nonnunquam, ut & cadentia aliquid decernant. Et vim non exiguam habent ad præſignificandum, cùm ſtella aliqua in uno cadentium conſtituta, radios intra * tres partes ſparſerit, ſecundùm trianguli figuram, ad cardinem vel ſtellam, quæ cum ipſa concordat.*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

ἐπι ἀστέρι. φέρε εἰπεῖν, τὸν ὡροσκόπον ♌ μοι ιε. εἶναι δὲ καὶ τὸν τοῦ ♃, ἐπὶ τοῦ ♈, μοι ιϛ. ἐπεὶ δὲ ὁ ♌ τὸ ὡροσκοπικὸν κέντρον ἐπέχων, μοι ιε. ἔτυχε δὲ καὶ τὸ θ ἀπόκλιμα ἀγαθὸν εὑρεθῆναι, ♃ ἐκεῖσε ὄντος, καὶ τὰς ἀκτῖνας ἐπιφέροντος ἐν τῇ ἐφεξῆς μοι τοῦ ὡροσκόπου: ἐνεργὴς ἐγένετο. χρησόμεθα δὲ καὶ ἑτέρῳ ὑποδείγματι, διὰ τῆς τοῦ ὡροσκόπου, ὡς ὑπεθέμεθα, πραγματείας. ἐμεσουράνησε ♉ μοι ιε. εὑρέθη δὲ ὁ τῆς ♀ ἐπὶ τοῦ ♑ μοι ιϛ, κατὰ τρίγωνον δεξιὸν ⊕ ὑπάρχων τῆς μεσουρανούσης μοι, καὶ ἐπενέγκας τὰς ἀκτῖνας, ἐπὶ τὴν ἑπομένην μοι τοῦ κατὰ κορυφὴν κέντρου: ἐσχημάτισε, καὶ ἐνεργὴς ἐγένετο ὁ ἀστὴρ, κατὰ τὸν ἀποτελεσματικὸν λόγον. ἐπὶ πλεῖον δὲ δυναμοῦται ὁ ἀποκεκλικὼς ἀστὴρ, ὅταν ἐπὶ τοῦ συμφωνοῦντος αὐτῷ κέντρου ἕτερός τις τῶν ἀστέρων ἐπικείμενος, σχηματίσῃ. λέγεται δὲ, τὸν θ καὶ ϛ τόπον τῶν λοιπῶν ἀποκλιμάτων, διενηνοχέναι: διὰ τὸ εἶναι τὸν μὲν, σύμφωνον τῷ ὡροσκόπῳ, τὸ δὲ κατὰ τρίγωνον πλευρὰν σχηματίζεσθαι τῷ κατὰ κορυφῆς κέντρῳ, λέγω δὴ, τῷ μεσουρανοῦντι ζωδίῳ. καὶ τὸν μὲν ϛ τόπον ἐνεργέστερον εἶναι συμβέβηκεν, ὅτι σύμφωνός ἐστι τῷ μεσουρανοῦντι κέντρῳ. προηγεῖσθαι γὰρ αὐτὸ ἠθέλησαν τῶν κέντρων. ὥσπερ καὶ τὸ δεύτερον ἀπὸ ὡροσκόπου, διαφέρειν τῶν λοιπῶν ἐπαναφορῶν ὑποτίθενται: ὅτι σύμφωνόν ἐστι κατὰ τρίγωνον πλευρὰν, τῷ μεσουρανοῦντι. καὶ τὴν μὲν τοῦ βίου προέκτησιν, ἀπὸ τοῦ μεσουρανοῦντος, καὶ τῶν ἑτέρων κέντρων, καὶ τοῦ συγκεχρηματικότος ἀστέρος ἐπί τινος τῶν κέντρων, γίγνεσθαι φασί. τὴν δὲ ποιότητα τῆς προκτήσεως, διὰ τοῦ εὑρισκομένου ἀστέρος ἐπὶ τῶν δ ἀποκλιμάτων τῆς γενέσεως, δηλοῦσθαι διαβεβαιοῦνται. ὑποδείγματος χάριν: φέρε εἰπεῖν, τὸν τοῦ ♃ ἐπὶ τοῦ κατὰ κορυφὴν τόπου σχηματίζειν. τὸν δὲ τῆς ♀, ἐπὶ τοῦ δεξιοῦ τριγώνου τοῦ μεσουρανοῦντος, ὅ ἐστιν ἀπόκλιμα, καὶ ϛ τόπος τῆς γενέσεως. ἡ μὲν προέκτησις, ἀπὸ τοῦ διὸς γίνεται: ἡ δὲ ποιότης, ἀπὸ τοῦ τῆς ♀ ἀστέρος. ὥσπερ ἄν τις τῶν

κακο

ipſa concordat. Verbi cauſa: ſit aſcendens, Leonis pars 15: ſit etiã Iouis ſtella in Arietis parte 16. Quoniam verò Leo aſcendentem cardinem obtinet, in parte 15: et contigit, nonum locum cadentẽ repertum eſſe felicem, Ioue ibi ſedente, & radios immittente, in partem, quæ horoſcopum ſequitur: efficax Iupiter factus eſt. Vtemur & alio exemplo, ſumta eadem parte aſcendente, ut antea. Medium cæli obtinet Tauri pars 15, Venus eſt Capricorni parte 16, triangulo dextro ⊕ aſpiciens partem medium cæli obtinentem: cumq́; radios ſpargat in partem, quæ cardinẽ verticalem proximè ſequitur, poteſtatem obtinuit & efficax facta eſt ſtella Veneris, ad eventus futuros ſignificandos. Plurimùm verò poteſt ſtella cadens, quando in cardine, qui cum ipſa conſentit, alia quadam ſtella poſita fuerit. Dicuntur nonus & ſextus locus differre à cæteris cadentibus, propterea, quod ille concordat cum Aſcendente, hic ſecundum trianguli latus cõfiguratur cũ cardine verticali, hoc eſt, cũ ſigno, quòd medium cæli obtinet. Et ſextum locũ efficaciorem eſſe contingit, quia conſentit cum cardine medii cæli. Priorem enim locum illi inter cardines dederunt: ſicut & ſecundum ab Aſcendente locum, differre ſtatuunt à cæteris ſuccedentibus: quoniam congruit ſecundùm trianguli latus, cum medio cæli. Et rei familiaris poſſeßionem exiſtere dicunt à medio cæli cæteriſq́; cardinibus, & ſtella ſimul ſedem obtinente in aliquo cardinum: modum autem poſſeßionis, à ſtella in quatuor cadentibus genituræ inuenta, ſignificari affirmant. Exempli cauſa: Iupiter locum verticalem obtinet: Venus in dextro triangulo ſit medii cæli, hoc eſt, in cadente loco & ſexto genituræ. Res familiaris quidem à Ioue eſt: modus verò, à Veneris ſtella. Vt ſi aliqua

maleficæ

κακοποιῶν ἀστέρων, λέγω δὴ, ὁ τοῦ ♄, ἢ ὁ τοῦ ♂, ἐπίτινος τῶν κέντρων σχηματίσῃ, τῆς ἀφροδίτης ἀποκεκλικυίας, καὶ κατὰ σύμφωνον αὐτῷ τυγχανούσης: τὸ αἴτιον ❀ διὰ τῆς τοῦ κακοποιοῦ ἀστέρος ἐπικεντρώσεως §☾● ἀποτελεῖται, ἕνεκεν γυναικείων προφάσεων. ἐνεργέστεροι δὲ οἱ κακοποιοὶ ἀστέρες, ἐν τοῖς ἀποκλίμασι, πρὸς τὸ βλάψαι καὶ ἀδικῆσαι, γίνονται: ἐπάν τις τῶν κακοποιῶν ἀστέρων ἐφ᾽ ἑνὸς τῶν τεσσάρων κέντρων σχηματίσας τύχοι. τὰ γὰρ αἴτια τῆς κακωτικῆς περιστάσεως, διὰ τούτων ἀποτελεῖται: καὶ μάλιστα, ὅταν τις ἐπὶ τοῦ ϛ τόπου τῶν κακοποιῶν ἀστέρων εὑρεθῇ. ἐπὰν δὲ τις τῶν ἀγαθοποιῶν ἀστέρων τὸν ϛ τόπον ἐπισχῇ, μηδενὸς ἐπὶ τοῦ μεσουρανήματος τετυχηκότος, μηδὲ μὴν ἐπὶ τῆς τοῦ ὡροσκόπου ἐπαναφορᾶς: παντάπασιν ἀσχημάτιστος καὶ ἄπρακτος καὶ ἀδρανὴς καὶ ἀργὸς πρὸς πᾶσαν ἀποτελεσματικὴν ἐνέργειαν γίνεται, καὶ μάλιστα πρὸς τὰς βιωφελεῖς πράξεις, καὶ εἰς ἀγαθόν τι χωρεῖν δυναμένας.

† Ἐδείχθησαν ἐν τοῖς κέντροις ἢ ταῖς ἐπαναφοραῖς, οἱ ἀγαθοποιοὶ ὄντες, μᾶλλον ποιεῖν τὰ αὐτῶν ἀγαθά: οἱ δὲ κακοποιοὶ, τὰ φαῦλα. νῦν δὲ δείκνυσιν, ὅτι καὶ ἐν ἀποκλίμασιν ἀρεθέντας ἐνδέχεται αὐτοὺς ἀποτελεῖν τὰ οἰκεῖα, ὥσπερ εἰ ἐν τοῖς κέντροις ἢ ταῖς ἐπαναφοραῖς ἦσαν.

* Τὸ γὰρ τρίγωνον ρκ μοι ἐστίν. εἰ οὖν καὶ ριζ εἰσὶ, κἀκεῖνο τρίγωνον λέγεται. οἷον εἴτις ἐν τῷ ϛ ὢν, ἀποκλίματι ὄντι τοῦ δύνοντος, βάλλει ἀκτῖνα κατὰ τοῦ ι, τριγώνου αὐτοῦ ὄντος: ἔστι δὲ ὁ τοιοῦτος μεσουράνημα.

⊛ Ἐν τῷ ἀποκλίματι τοῦ δυτικοῦ, εἰς τὰ ἡγούμενα. ὁ ἐν ϛ τόπῳ ὢν, τῇ κακῇ τύχῃ, εἴπερ ὁ ♉ ἐμεσουράνει.

♣ Τὸ διὰ τοῦ κακοποιοῦ αἴτιον ἔσται, ἢ δυστυχία ἢ πόλεμος.

§☾● Ἡ ποιότης ἀποτελεῖται διὰ γυναικῶν ἢ διὰ λόγων, ὅταν ὁ ☿ ἐν τῷ ἀποκλίματι ᾖ. γίνονται γὰρ πόλεμοι καὶ δυστυχίαι, διὰ λόγων καὶ γυναικῶν.

maleficarum ſtellarum, nempè Saturnus & Mars, in cardine aliquo fuerit, cadente Venere, & convenientiam aliquam cum malefica habente: cauſſa ♣ mali (quæ eſt, quòd malefica in cardine exiſtit) ☙ perficitur, occaſione data à mulieribus. Efficaciores verò redduntur ſtellæ maleficæ in cadentibus, ad nocendum & iniuria afficiendum, cùm aliqua malefica in uno quatuor cardinum conſtituta fuerit. Nam quæ cauſſæ ſunt adverſæ fortunæ, eæ per has in effectionem deducuntur: maximè, cum aliqua maleficarum in 6 loco fuerit. Si verò benefica ſextum locum obtineat, nulla in medio cæli reperta, neq; in loco, qui horoſcopo ſuccedit: omninò ille locus ocioſus, iners, infirmus & ignauus fit, ad omnem vim prædicendi: ac in primis ad actiones vitæ utiles, & quæ bonum aliquod producere poſſint.

† *Demonſtratum eſt, quòd in cardinibus aut ſuccedentibus beneficæ conſtitutæ, magis bona ſua efficiant: maleficæ verò mala. Nunc oſtendit, quòd & in cadentibus repertæ perficiant propria ſua ſignificata, non aliter, ac ſi in centris, aut ſuccedentibus eſſent conſtitutæ.*

* *Nam triangulum 120 partium eſt. Si igitur & 117. ſunt, illud triangulum dicitur. Vt ſi quis planeta in 6 loco exiſtens, cadente ſcilicet ab angulo occidentis, proÿcit radium in 10, ſecundum triangulum. eſt verò hoc medium cæli.*

⊛ *In cadente ab angulo occidentis, ſecundum ſignorum ſeriem. Sextum locum tenens, quæ eſt mala fortuna: ſiquidem Taurus cæli medium obtinebat.*

♣ *Cauſa à malefica, erit aut infelicitas, aut bellum.*

☙ *Modus perficitur per mulieres: aut per ſermones, quando Mercurius in cadente fuerit. Exiſtunt enim bella & infelicitates, à ſermonibus & mulieribus.*

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Περὶ ἐνιαυτοῦ καὶ μηνὸς καὶ ἡμέρας.

Ὅσα δὲ ἂν ἡ γένεσις ἔτη κατάγοι, ἀπὸ τοῦ ὡροσκοποῦντος ζωδίου διεκβαίνονται: τὸ πρῶτον ἔτος διδόντες, τοῦ γεννητικοῦ χρόνου τῷ ὡροσκόπῳ: καὶ τὸ β, τῇ τοῦ ὡροσκόπου ἐπαναφορᾷ: ἔπειτα τὸ ἑξῆς, τῷ γ ζωδίῳ ἀπὸ τοῦ ὡροσκόπου, καὶ ὡς ἔχει τὰ λοιπὰ ἐν τοῖς ἑπομένοις ζωδίοις, ἕως ἂν τὸν ιβ ἀριθμὸν ἀπαρτίσῃς. καὶ πάλιν τὸ ιγ ἔτος διδόαμεν τῷ ὡροσκοποῦντι ζωδίῳ, καὶ ὅπου δ᾽ ἂν καταλήξῃ ὁ κατ᾽ ἔλλειψιν ἀριθμὸς, ἐκεῖσε τὸν ἐνιαυτὸν λέγε εἶναι, περὶ οὗ ἐστιν ἡ ζήτησις. τὸν δὲ μῆνα πάλιν ὁμοίως πραγματεύου, ἀρξόμενος ἀπὸ τοῦ ζωδίου, ἔνθα ὁ ἐνιαυτὸς κατέληξε, καὶ διδοὺς τοῖς ἑξῆς ζωδίοις τὸν ζητούμενον τῶν μηνῶν ἀριθμόν: καὶ ὅπου δ᾽ ἂν ἐκπέσῃ, καὶ τὸν μῆνα λογούμεθα. ὡσαύτως δὲ καὶ τὴν ἡμέραν πραγματεύσῃ, ἀπὸ τοῦ ζωδίου, ἔνθα ὁ μὴν ἐξέπεσεν ἀρξόμενος, καὶ τὸν εὑρισκόμενον τῶν ἡμερῶν ἀριθμὸν, ὁμοίως ἐπιμερίζων τοῖς ἑξῆς ζωδίοις, διδοὺς ἑκάστῳ μίαν ἡμέραν, ἕως ἂν ὁ δωδέκατος ἀριθμὸς ἀπαρτισθῇ: καὶ πάλιν ἀπὸ τῶν προκειμένων ἀρξάμενος, καὶ συμπληρώσας τὸν ἀριθμόν: ὅπου γὰρ ἂν καταλήξῃ ὁ κατ᾽ ἔλλειψιν ἀριθμὸς, ἐκεῖσε ἔσται ἡ ἡμέρα.

Ὑποδείγματος χάριν: ὡς ἐπὶ τῆς τοῦ ἐνιαυτοῦ εὑρέσεως, κατάγει ἔτη κς, ἔχων τὸν ὡροσκόπον ♌. διδόαμεν τὸν α ἐνιαυτὸν τῷ ὡροσκόπῳ, ὅς ἐστιν ὁ ♌. τὸν β τῇ τοῦ ὡροσκόπου ἐπαναφορᾷ, ἥτις ἐστὶ ♍. τὸν δὲ γ ἑξῆς τῷ ♎. τὸν δὲ δ, ♏. τὸν πέμπτον ἀκολούθως ♐. τὸν ϛ, ♑. τὸν ζ, ♒. τὸν η, ♓. τὸν θ, ♈. τὸν ι, ♉. τὸν ια, ♊. τὸν ιβ, ♋. πληρωθείσης δὲ τῆς δύο καὶ δεκάδος, ἀρξάμενος πάλιν ἄνωθεν, τὸν ιγ τῷ ὡροσκόπῳ δίδωμι, ὅς ἐστι ♌. τον ιδ. τῇ ♍. καὶ τὰ ἑξῆς τοῖς παρακειμένοις, ἕως πάλιν πληρωθῇ ὁ ιβ ἀριθμός. καὶ οὕτως πάλιν τὸν κε διδόαμεν τῷ ὡροσκόπῳ, καὶ πίπτει ὁ κς εἰς ♍. κύριος τοῦ ἐνιαυτοῦ, ☿.

σκοποῦ.

Quotcunq; anni continuati fuerint, à principio nativitatis, ij ab aſcendente ſigno digrediuntur, ita ut primùm annum demus natalitiì temporis horoſcopo: ſecundum ei ſigno, quod horoſcopo ſuccedit: dein tertium, tertio ab Aſcendente ſigno, & ſic deinceps, ſecundum ordinem ſignorum, donec duodenarium numerum compleveris. Poſtea rurſum decimum tertium annum damus ſigno aſcendenti: & ubi numerus defecerit, ibi annum dic eſſe, de quo eſt quæſtio. Menſem verò ſimiliter inveſtiga, incipiens à ſigno, in quo annus deſijt, & dans ſequentibus ſignis quæſitum menſium numerum: quò enim numerus evaſerit, ibi menſem etiam deprehendemus. Similiter & diem ſupputando invenies, incipiens à ſigno, in quo menſis deſijt, & propoſitum dierum numerum ſimiliter diſtribuens in ſequentia ſigna, dans unicuiq; diem unum, donec duodenarius numerus ſit abſolutus: & rurſus à prioribus incipiens, numerumq; complens. Vbi enim defecerit numerus, ibi dies quæſitus erit.

Vulgò proceſſus vel profectiones annuæ, menſtruæ, diurnæ appellantur: quarum domini Ptolemæo ſunt, χρονοκράτορες ἐνιαύσιοι, μηνιαῖοι, ἡμερήσιοι, in fine τοῦ τετραβ.

Exempli gratia: in annua profectione invenienda, deduxerit aliquis annos ætatis 26, habens in Aſcendente Leonem. Damus primum annum Aſcendenti, qui Leo eſt: ſecundum, ſuccedenti loco, quæ eſt virgo: tertium deinceps Libræ: quartum Scorpio: quintum conſequenter Sagittario: ſextum Capricorno: ſeptimum Aquario: octauum piſcibus: nonum Arieti: decimum Tauro: undecimum Geminis: duodecimum Cancro. Completo autem duodenario, incipiens rurſum à principio, decimum tertium annum do horoſcopo, qui eſt Leo: decimum quartum virgini: & ſic deinceps ſequentibus, donec iterum duodenarius numerus compleatur. Atq; tum denuò viceſimum quintum damus horoſcopo, & cadit viceſimus ſextus annus in virginem. Dominus eius anni eſt Mercurius.

σκοποῦμεν τὸν τοῦ ☿, ὅπως ἐπὶ τῆς γενέσεως κεῖται, καὶ τίνες τῶν ἀστέρων αὐτὸν καταπλεύουσι: τίνες δὲ καὶ τὸ ζώδιον, ἐν ᾧ ἔτυχεν ὁ ἐνιαυτὸς, ἐπιθεωροῦσι: καὶ τίνες ἐπὶ τῆς γενέσεως, αὐτοῦ συνεσχηματίσθησαν. εὑρίσκομεν τὸν τοῦ ☿, ὅς ἐστι κύριος τοῦ ἐνιαυτοῦ, ♈, ἀπόστροφον ὄντα τῷ ζωδίῳ, ἔνθα τὸ ἔτος. ἔστι δὲ καὶ ὁ τοῦ ♃ ♊, κατὰ δεξιὸν αὐτοῦ τετράγωνον ὑπάρχων. ὁ δὲ ♄ κατὰ δεξιὸν τρίγωνον αὐτοῦ ὑπάρχων. Τῶν δὲ λοιπῶν ἀστέρων τῆς γενέσεως μὴ πάνυ τοι αὐτῷ ἐπιμαρτυρησάντων, οὐδὲ μίαν ἀπὸ αὐτῶν περιτελεύτησιν ἀποτελεσμάτων ἔχομεν. οὕτω πραγματεύεσθαι δεήσει ἕκαστον ἐνιαυτόν. τὸν δὲ α μῆνα τοῦ ἔτους, διδόναι τῷ ζωδίῳ, ἔνθα ἔπεσεν ὁ ἐνιαυτὸς, τῇ ♍. τὸν β, ♎. τὸν γ, ♏. καὶ σὺν λοιποὺς, μέχρι τοῦ μηνὸς, οὗ ζητεῖς γνῶναι, ὁμοίως τοῖς προκειμένοις ποιήσεις. τῷ δὲ αὐτῷ τρόπῳ καὶ τὴν ἡμέραν ζητῶν, ποῦ κατάγει ἡ γένεσις, ποιήσῃ ἀπὸ τοῦ ζωδίου, ἔνθα ὁ μὴν ἐκπίπτει, διδοὺς ἑκάστῳ ζωδίῳ, ἀνὰ μίαν ἡμέραν, ἕως ἂν ὁ τῆς δυοδεκάδος ἀριθμὸς ἀπαρτισθῇ. καὶ τὴν ιγ ἡμέραν πάλιν διδοὺς τῷ ζωδίῳ, ἔνθα ὁ μὴν πάλιν ἐξέπεσε, καὶ ἑξῆς ὁμοίως δώσεις, ἄχρις ἂν ἀπαρτισθῇ ὁ τῶν ἡμέρων ἀριθμός.

Περὶ τῆς κατὰ τρίγωνον μονομοιρίας.

Ἡ κατὰ τρίγωνον μονομοιρία, λαμβάνεται οὕτως: τὰς μονομοιρίας τοῦ αἱρετικοῦ φωτὸς σκοπήσας, ἀπόλυσον ἀπὸ τοῦ καθ' αἵρεσιν κατὰ τρίγωνον * αὐτὸν * ὑποδεδεγμένου ἀστέρος, ἑκάστῳ ἀστέρι μερίζων μοῖραν μίαν, τῇ τῶν καθ' αἵρεσιν τριγωνικῶν δεσποτῶν τάξει: μὴ διδόντες ἐκ δευτέρου τινὶ ἀστέρι, μήπω ἐκ δευτέρου λαβόντες * ἐκεῖ τοῦ * ἀστέρος, οὗ ἡ ἀρχὴ τοῦ μερισμοῦ γενόνηται, καὶ εἰς ὃν ἂν καταλήξῃ ὁ τοῦ αἱρετικοῦ φωτὸς τῶν ὅλων μοιρῶν, ἐκεῖνον τὸν ἀστέρα λέγομεν δεσπότην τῆς κατὰ τρίγωνον μονομοιρίας τοῦ αἱρετικοῦ φωτὸς. καὶ τούτου ͵ς κανόνιον ἐποιησάμεθα τὸ ὑποτεταγμένον.

* Lego, αὐτό.

* Legi, ἐκείνου.

Κανόνιον

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Conſideramus ſtellam Mercurij, quomodo in geneſi ſit poſitæ: & quæ ſtellæ eam aſpiciant: quæ etiam ſignum coutneantur, in quod annus incidit: & quæ ſtellæ in geneſi ipſi ſint configuratæ. Invenimus Mercurium dominum anni in Ariete, quod aversum ſignum eſt, à ſigno, in quod annus incidit. Iupiter eſt in Geminis, dextrum cum ſigno illo quadratum conſtituens. In Tauro Saturnus ſecundum dextrum illius ſigni trigonum. Cum verò cæteræ in genitura ſtellæ, ne minimum quidem ipſi atteſtentur, nullam etiam ab ijs eventuum prædictionem habebimus. Atq; hoc modo annos ſingulos inveſtigare oportebit. Primus verò menſis anni dandus erit ſigno, in quo annus deſiit, nempè virgini: ſecundus Libræ: tertius Scorpio: ſimiliter, ut dictum eſt, facies cum cæteris menſibus, uſq; ad eum, quem noſſe cupis. Eodem modo procedes, diem inquirens eo anno, ad quem genitura deducit, incoando à ſigno, in quo menſis deficit, dans cuilibet ſigno unum diem, donec duodenarius numerus ſit abſolutus; & decimum tertium diem iterum dans ſigno, ubi menſis rurſum defecit, ac deinceps ſimiliter, donec dierum numerus compleatur.

De partium ſingularum diſtributione ſecundum triangulum.

Singularum partium ſecundum triangulum diſtributio hoc modo inſtituitur. Cùm conſideraveris partes ſingulas conditionarij luminis, incipe numerare à ſtella, quæ ſecundum conditionem lumen excepit, in illo triangulo: unicuiq; ſtellæ tribuens partem unam, eo ordine, quo domini triangulorum conditionarij ſe ſequuntur: nec ſecundò alicui ſtellæ tribuemus, ne fortè initium iterum ab ea ſtella fiat, undè diſtributio incoata eſt. In quam autem ſtellam deſierit numerus univerſarum partium conditionarij luminis: eam ſtellam dicimus dominari monomæriæ triangulari luminis conditionarij. De hac re tabellam ſequentem confecimus.

Cùm mut[illegible] & deprauatus ſi[illegible] [illegible]tus, verus ſenſus inde elici non potuit.

 Tabella

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

Κανόνιον τῆς κτ̃ τρίγωνον μονομοιρίας.

τρίγων. α		τρίγω. β		τρίγω. Γ		τρίγωνον Δ.	
♈ ♌ ♐		♉ ♍ ♑		♊ ♎ ♒		♋ ♏ ♓	
α	☉	α	♀	α	♄	α	♀
β	♃	β	☾	β	☿	β	♂
γ	♀	γ	♄	γ	♀	γ	☉
δ	☾	δ	☿	δ	♂	δ	♃
ε	♄	ε	♀	ε	☉	ε	♀
ϛ	☿	ϛ	♂	ϛ	♃	ϛ	☾
ζ	♀	ζ	☉	ζ	♀	ζ	♄
η	♂	η	♃	η	☾	η	☿
θ	☉	ϑ	♀	ϑ	♄	ϑ	♂ *
ι	♃	ι	☾	ι	☿	ι	☉
ια	♀	ια	♄	ια	♀	ια	♃
ιβ	☾	ιβ	☿	ιβ	♂	ιβ	♀
ιγ	♄	ιγ	♀	ιγ	☉	ιγ	☾
ιδ	☿	ιδ	♂	ιδ	♃	ιδ	♄
ιϛ	♀	ιε	☉	ιε	♀	ιε	☿
ιε.	♂	ιϛ	♃	ιϛ	☾	ιϛ	♀
ιζ	☉	ιζ	♀	ιζ	♄	ιξ	♂
ιη	♃	ιη	☾	ιη	☿	ιη	☉
ιϑ	♀	ιθ	♄	ιθ	♀	ιθ	♃
κ	☾	κ	☿	κ	♂	κ	♀
κα	♄	κα	♀	κα	☉	κα	☾
κβ	☿	κβ	♂	κβ	♃	κβ	♄
κγ	♀	κγ	☉	κγ	♀	κγ	☿
κδ	♂	κδ	♃	κδ	☾	κδ	♀
κε	☉	κε	♀	κε	♄	κε	♂
κϛ	♃	κϛ	☾	κϛ	☿	κϛ	☉
κζ	♀	κζ	♄	κζ	♀	κζ	♃
κη	☾	κη	♂ *	κη	♂	κη	♀
κϑ	♄	κϑ	♂	κϑ	☉	κϑ	☾
λ	☿	λ	♃	λ	♃	λ	♄

Tabella Monomœrias ſecundum triangulum.

Triang. 1.		*Triang. 2.*		*Triang. 3.*		*Triangul. 4.*	
♈ ♌ ♐		♉ ♍ ♑		♊ ♎ ♒		♋ ♏ ♓	
1	☉	1	♀	1	♄	1	♀
2	♃	2	☽	2	☿	2	♂
3	♀	3	♄	3	♀	3	☉
4	☽	4	☿	4	♂	4	♃
5	♄	5	♀	5	☉	5	♀
6	☿	6	♂	6	♃	6	☽
7	♀	7	☉	7	♀	7	♄
8	♂	8	♃	8	☽	8	☿
9	☉	9	♀	9	♄	9	♂ *
10	♃	10	☽	10	☿	10	☉
11	♀	11	♄	11	♀	11	♃
12	☽	12	☿	12	♂	12	♀
13	♄	13	♀	13	☉	13	☽
14	☿	14	♂	14	♃	14	♄
15	♀	15	☉	15	♀	15	☿
16	♂	16	♃	16	☽	16	♀
17	☉	17	♀	17	♄	17	♂
18	♃	18	☽	18	☿	18	☉
19	♀	19	♄	19	♀	19	♃
20	☽	20	☿	20	♂	20	♀
21	♄	21	♀	21	☉	21	☽
22	☿	22	♂	22	♃	22	♄
23	♀	23	☉	23	♀	23	☿
24	♂	24	♃	24	☽	24	♀
25	☉	25	♀	25	♄	25	♂
26	♃	26	☽	26	☿	26	☉
27	♀	27	♄	27	♀	27	♃
28	☽	28	♂ *	28	♂	28	♀
29	♄	29	♂	29	☉	29	☽
30	☿	30	♃	30	♃	30	♄

Vbi notæ aſſcriptæ ſunt huic tabulæ, ordo legitimus τῶν ὁριοκρατόρων ſiue dominorum finium interruptus eſt.

Σχόλιον.

Οἷον ὁ ♃ ἐν ♈ μοι ιβ, ἐν τριγωνικῷ κέντρῳ. μονομοιρία τοῦ * ♈ * ἐστὶ. τοῦτο γὰρ ἡ ιβ κλήρου, κατὰ τὸ ὀρθῶς ἔχον κανόνιον. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. καὶ ἐπὰν εὕρω, ἐν τινί τριγωνικῇ μοι ὁ ἀστὴρ, σκοπῶ, πότερον ἐν ἰδίᾳ ἢ ἐν ἀλλοτρίᾳ, καὶ πότερον ἀγαθοποιοῦ, ἢ κακοποιοῦ, καὶ πότερον αὐτὸς ὁ ἀστὴρ ἀγαθοποιός ἐστιν, ἢ κακοποιὸς, καὶ ὑπὸ ἀγαθοποιῶν, ἢ κακοποιῶν βάλλεται: καὶ οὕτως ἀποφαίνομαι. ὅτι εἰ μὲν ἐν τῇ ἰδίᾳ τριγωνικῇ μονομοιρίᾳ ἐστὶν, ἀγαθὸν: εἰ δὲ ἐν ἀγαθοποιοῖς τόποις, ἔτι ἀγαθώτερον: εἰ δὲ καὶ ἀπὸ ἀγαθοποιῶν βάλλεται, ἐστὶ ἀγαθώτατον. εἰ δὲ τὰ ἐναντία, τὸ ἀνάπαλιν.

Τὸ πρότερον κανόνιον, ἐπὶ τῶν ἡμερινῶν ἐστὶ γενέσεων. ἐπὶ δὲ νυκτερινῶν ἐναλλὰξ ἔσονται αἱ τάξεις τῶν τριγωνοκρατόρων. οἷον ἐπὶ τοῦ α τριγώνου τοῦ διὰ ♈ ♌ ♐, ♃. εἶτα ☉. καὶ ἑξῆς.

Περὶ ἀναγκαστικῆς μοίρας ὡροσκόπου * διεκφό-δων * φυσικῶν.

Τὴν κατὰ τρίγωνον μονομοιρίαν, οἱ σοφοὶ τῶν Αἰγυπτίων ἀπεφήσαντο, χρησίμην εἶναι, πρὸς τὴν τοῦ ὡροσκόπου μοιρικὴν κατάληψιν: ἀκολουθήσαντες τοῖς ἰδίοις τῶν ἀστέρων τριγώνοις, καὶ ταῖς τῶν φώτων αἱρέσεσι, πρὸς δὲ τὰς ἡμερινὰς καὶ νυκτερινὰς γενέσεις, κατὰ τὴν χρηματίζουσαν τῆς τριγωνικῆς τοῦ ἀστέρος δεσποτείας * μονομοιρίας: * εἴποντες, † ὅτι ἡ τοῦ ὡροσκόπου μοῖρα καταλαμβάνεται, διὰ τῆς κατὰ τρίγωνον δεσποζομένης μονομοιρίας, τοῦ αἱρετικοῦ φωτὸς. τινὲς δὲ ὑπέθεντο, λέγοντες: ὅτι τὰ ὅρια τοῦ ἀστέρος ἐν οἷς ἐστὶν ἡ ☽, καθ᾿ οἱονδηποτοῦν ζώδιον: ταῦτα ὡροσκοπεῖν δεῖ. οἱ δὲ τῆς προγεγενημένης συνόδου ἢ καὶ πανσελήνου τὸν ὁριοκράτορα, ἢ καὶ οἰκοδέκτορα πραγματευόμενοι, καὶ ἰδόντες, ἐφ᾿ οἵας μοίρας καὶ οἱονδηποτοῦν ζώδιον, ἕκαστος αὐτῶν κατὰ τὴν γενεθλιακὴν ἡμέραν ἐστὶν: ἑνὸς τούτων, τὴν τοῦ ὡροσκόπου

SCHOLION.

*Vt, Iupiter in Arietis parte ſit duodecima, in cardine trigonali. Monomœria eſt * *: huius enim eſt duodecima Arietis, in tabella rectè conſtituta. Atq; in cæteris ſit ſimiliter. Poſtquam autem invenero, in qua parte trigonali ſit ſtella, conſidero: utrum in propria ſit, an in aliena: & utrum beneficæ ſit pars illa, an maleficæ: & utrum ſtella ipſa ſit benefica, aut malefica, & à beneficis aut maleficis petatur: atq; ſecundum hæc pronuncio. Quoniam ſi in propria trigonali monomœria reperitur, bonum eſt: ſi in beneficis locis, adhuc melius. ſi & à beneficis aſpicitur, optimum. Sin contraria adſunt, contrarium quoq; evenit.*

Prior tabella in diurnis genituris locum habet. In nocturnis verò permutatim ſumendi erunt ordines ſtellarum, quæ triangulis dominantur: veluti in primo triangulo, quod per ♈ ♌ ♐ ducitur, primus dominus eſt ♃, alter ☉, et ſic deinceps.

De vera conſtitutione partis aſcendentis, ex rationibus naturalibus.

Modos verificandi, ut loquuntur, thema natalitium, quinq; tradit.

Diſtributionem ſingularum partium ſecundum triangu-
lum ſapientes Aegyptij affirmarunt, utilem eſſe, ad partis ve-
rè aſcendentis inventionem, ſequentes propria ſtellarum tri-
angula, & conditiones luminum, in diurnis & nocturnis ge-
nituris, ſecundum monomœriam, quæ præeſt trigonali domi-
nio ſtellæ; ac dicunt, ℞ quòd aſcendentis pars ſumitur per mo- 1.
nomœriam, dominantem triangulo luminis conditionarij. Alij
docuerunt, quòd fines ſtellæ, in quibus Luna reperitur, quod- 2.
cunq; ſanè ſit ſignum, pro aſcendente parte habere conveniat.
Qui verò ſupputantes hæc, planetam aſſumunt, dominum fi- 3.
nium aut domus, proximè præcedentis novilunij aut pleni- Ptol. lib. 3. πετρα6.
lunij: ac vident, in qua parte, & in quo ſigno uterque
eorum ſit die natalitio: ij alterius horum partem pro aſcen-

Cap. 2. Arabibus, verificatio eſt per Ann modar.

 dente

σκόπου μοιρίαν εἶναι διαβεβαιώσαντο: καὶ μάλιστα, κατὰ τὸν τῆς πλειονοψηφίας λόγον ἐπὶ τῆς γενέσεως κεχρηματικότος. ἐπὰν δὲ ὁ κύριος τῶν ὁρίων, καὶ τοῦ ζωδίου τῆς προγεγενημένης, εἴτε συνόδου εἴτε πανσελήνου, τὴν αὐτὴν μοιρίαν ἔχοντες εὑρεθῶσι; πάλιν ὡς εἴτε * ἑνὶ ζωδίῳ, εἴτε ἐν διαφόροις, † ἐπιβεβαιοῦσι τῆς ὡροσκοπούσης μοι τὴν κατάληψιν. τινὲς δὲ ἐπεσημήναντο, λέγοντες, ὅτι ὅσων μοι εὑρίσκεται ἐπὶ τῆς γενέσεως ὁ κύριος τῶν ὁρίων τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου, τοσούτων δεήσει μοι τυγχάνειν τὸν ὡροσκόπον. ἕτεροι δὲ ἐπραγματεύσαντο τὴν τοῦ ὡροσκόπου μοι, τρόπῳ τοιῷδε: γνόντες, κατὰ τὴν γεννητικὴν * μοιρίαν * τὸ δωδεκατημόριον τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου, ἐν ποίῳ ζωδίῳ ἐξέπεσεν. ὡσαύτως δὲ καὶ τὸ κατὰ τὴν ἀπορίμην ἡμέραν δωδεκατημόριον τῆς προγεγενημένης συνόδου εἴτε πανσελήνου, ἐν ποίῳ ζωδίῳ ἔτυχεν εἶναι. καὶ τοὺς κατὰ τρίγωνον τῆς αἱρέσεως αὐτῶν δεσπότας, οὓς μᾶλλον αὐτῶν ἐπὶ καιριωτέρου κεῖται: καὶ τὴν τοῦ ἐπὶ καιριωτέρου κατ' ἐκτροπὴν σύνεγγυς οὖσαν μοιρίαν, φασὶν ὡροσκοπεῖν, ἐν ᾧ ἂν τύχῃ ζωδίῳ εἶναι ὁ ὡροσκόπος. ἐκτροπὴ δὲ λέγεται, ἡ τῆς ἀποκυηλικῆς ἡμέρας ὡροσκοποῦσα μοιρία, ἥτις ἀπὸ τοῦ ἀφανοῦς κόσμου εἰς τὸν ἐμφανῆ ἀνατέλλει, καὶ τὴν τοῦ βρέφους γένεσιν οἰακίζει. τῶν δὲ τῆς γενέσεως τριγωνικῶν δεσποτῶν ἀοικείως κειμένων, τοῖς ἐπικοίνοις κατὰ τρίγωνον αὐτῶν δεσπόταις ὑπάρχουσι; τὴν τοῦ ὡροσκόπου, μοιρίαν ἀποδεδώκασιν, ἐν ᾧ ἂν ζωδίῳ ἐκπέσει ὁ ὡροσκόπος, καὶ μάλιστα τῷ οἰκιωτέρῳ ἑαυτῶν ἐπὶ τῆς γενέσεως τυγχανόντων.

† Ει ἐν τῇ αὐτῇ μοι καὶ ἀμφότεροι εὑρεθῶσιν οἱ ἀστέρες, βλέπομεν τὰς τριγωνικὰς αὐτῶν μονομοιρίας. καὶ ἐὰν ἐγγίζουσαι * ἐξεθῶσι * καὶ ἀμφότεραι τοῦ ὡροσκόπου * παγέος. * καὶ οὕτως ὡροσκόπος ληφθήσεται, κἂν ἐν διαφόροις ζωδίοις τὴν αὐτὴν, κβ * ἐτύχη * ἢ κγ, ἔχοντες ὦσιν. εἰ δὲ μὴ τὴν αὐτὴν, ἀλλ' ὁ μὲν κβ, ὁ δὲ ις: ἐνταῦθα ὁ πλείονα λόγον ἔχων ψηφοφορίας, προσληφθήσεται.

Margin notes:

* *Addendum,* ἐν.

* * *Lego,* ἡμέραν.

* * *Lego,* εὑρεθῶσι.

* * *Quid legendum ſit, ſuſpicari nequeo. Sentẽtia tamen eſſe videtur, quam utcunq; expreſſi.*

* * *Lego,* ἐκ τύχης *vel* τυχὸν.

Ἥλιος

Early European Books, Copyright © 2012 ProQuest LLC.
Images reproduced by courtesy of The Royal Library, Copenhagen.
Hielmst. 1655 4° [48,-60]

*dente parte habendam eſſe affirmarunt, ac inprimis eius, qui
pluralitatem ſuffragiorum in genitura obtinet. Cùm verò
dominus finium, & dominus ſigni novilunij vel plenilunij
præcedentis, eandem partem tenuerint: ſimiliter ut antea (ſi-
ve in uno ſigno, ſive in diverſis,† fuerint) inveſtigationem
partis aſcendentis inſtituunt. Quidam verò rem ſic demon- 4
ſtrarunt, quot partes habet in genitura, Dominus finium præ-
cedentis novilunij vel plenilunij, tot partium eſſe debet Ho-
roſcopus. Alij rurſum ſupputando partem aſcendentis, eam 5
hoc modo inveſtigarunt: Quæſiverunt die natalitio ſignum,
in quod pars duodenaria, præcedentis novilunij aut plenilunij
incidit: ſimiliter & die conceptionis, ſignum in quo præceden-
tis novilunij aut plenilunij pars duodenaria reperta fuit: atq;
dominos conditionis illorum, ſecundum triangula, quis nempè
illorum in principe magis genituræ loco ſit conſtitutus: & par-
tem eius, qui in principe magis loco eſt, tempori ἐκτροπῆς pro-
ximam, dicunt in ortu aſcendere, in quodcunq; ſanè ſignũ Ho-
roſcopus incidat. Ἐκτροπὴ verò dicitur pars, quæ aſcendit die
partus, quæ ex inferiore mundo oritur, & infantis nativitatē
gubernat. Cùm verò genituræ trigonales domini non conve-
nienter ſunt poſiti, promiſcuis ſecundùm triangula, eorum do-
minis exiſtentibus: partem aſcendentis ei dederunt, in cuius
ſignum inciderit aſcendens, atq; ei maximè, qui aſcendenti fa-
miliarior eſt inter cæteros in genitura.*

† *Si in eadem parte, uterq; Planeta repertus fuerit, quæ-
rimus trigonales ipſorum monomœrias: quæ ſi propinquæ fue-
rint Aſcendenti, eadem pars aſcendens erit: Similiter Aſcen-
dens ſumetur, quando etiam in diverſis ſignis Planetæ fue-
rint, eandem nempè partem 22 aut 23 tenentes. Si vero non
eandem, ſed hic 22, ille 16: ibi qui plura ſuffragia habet, aſſu-
metur.*

✱ Ἥλιος ἐν ♋ μοι η, ὡροσκόπος μοι κγ ἐν ♋ σκοπῶ οὖν. εἰ ἡ η μοι τοῦ ♋, ἣν ἐπέχει ὁ ☉, τινὸς ἀστέρος ὑπάρχει τριγωνικὴ μονομοιρία; καὶ εὑρίσκω κατὰ τὴν προειρημένην μέθοδον, ὅτι ἐστὶν ♀. ὁ γὰρ ♋ δ τρίγωνόν ἐστιν. ἡ η οὖν μοιρία, ἔχει παρακειμένην τὴν ♀, ἐν τῷ ὀρθῶς ἔχοντι κανονίῳ. ἐπεὶ οὖν τοῦτο εὑρέθη, οὗτός ἐστιν ὁ κύριος τῆς ἐποχῆς τοῦ ☉, τοῦτ᾽ ἐστιν, ἡ ♀. ζητῶ οὖν, ἐν τῇ ὡροσκοπικῇ μοιρίᾳ τῇ κγ ♋, τοῦ πλησίου, ὁ τῆς ♀ τὴν τριγωνικὴν ἔχει μονομοιρίαν, καθ᾽ ἕτερον οἱονδήποτε ζώδιον, εἴτε ἐν αὐτῇ τῇ κγ, εἴτε πλησίον αὐτῆς, πλέον ἢ ἔλαττον: καὶ εὗρον, ὅτι πλησίον αὐτῆς ἐστιν, ἀπὸ μιᾶς μοι. ἡ μὲν γὰρ ὡροσκοποῦσα μοι, κγ. ἡ δὲ τῆς ♀ τριγωνικὴ μονομοιρία, ἐν ἑτέρῳ ζωδίῳ, τουτέστιν, ἐν αὐτῷ τῷ ♋, εὑρίσκεται κβ. ἡ γοῦν κβ ♋, καὶ οὐχ ἡ κγ. δευτέρα δὲ μέθοδος, ἀπὸ ☾ μόνης, εἴτε νυκτὸς εἴτε ἡμέρας, μεθοδεύεται οὕτως. ζητεῖται, ἐν ποίῳ ζωδίῳ ἐστὶν ἡ ☾. εἶτα ἐπὰν εὑρεθῇ, ζητεῖται, τίνος ὅριόν ἐστιν. καὶ τὸν τοιοῦτον ἀστέρα ζητοῦσι, ποίαν τριγωνικὴν ἐπέχει μοι, συνεγγίζουσαν τῇ ὡροσκοπούσῃ παχυμερῶς μοίρᾳ, πλέον ἢ ἔλαττον; καὶ τὴν πλησιάζουσαν κατὰ τὸ πλεῖον ἢ τὸ ἔλαττον, ἐκείνην λέγω ὡροσκοπεῖν. οἷον ἐπὶ τοῦ εἰρημένου παραδείγματος, ἡ ☾ ἐν ♍ μοι κγ εὑρέθη, ἐν ὁρίοις ♂. βλέπω ἐν τῷ ὡροσκοποῦντι ζωδίῳ, ποῦ ἔχει ὁ ♂ τὴν τριγωνικὴν αὐτοῦ μονομοιρίαν, τουτέστιν, αὐτὴν τὴν κγ τοῦ ♍, καὶ ἐπὶ τοῦ αὐτοῦ παραδείγματος. καὶ γὰρ ἐκεῖ, κγ ἦν ἡ ὡροσκοποῦσα. καὶ εὑρίσκω τοῦτον ἐν τῇ κβ τοῦ β τριγώνου, κατὰ τὴν ἔκθεσιν τοῦ κανονίου. αὕτη οὖν ἡ ὡροσκοποῦσα. συμφωνοῦσιν οὖν αἱ μέθοδοι.

Περὶ κλιμακτήρων.

Συμβαίνει δὲ τοῖς θανατηφόροις ἢ καὶ ἐπικινδύνοις κλιμακτῆρας γίγνεσθαι, ἐκ τῶν κατὰ περίπατον συναντήσεως, ☉ καὶ ☾. ἔτι δὲ καὶ ὡροσκόπου, πρὸς τὰς τῶν κακοποιῶν ἀκτῖνας, ἤτοι κατὰ

συμ-

